Ὑσσώπου ὑγροῦ· ἀμμωνιακὸν· χαλβάνην, ἀνὰ οὐγγ α´· καστόριν· εὐφόρβιον· σαγαπηνοῦ· ἀδάρκης, ἀνὰ ἐξάγ δ´· νίτρου, ἐξάγ β´· ὀποπάνακος, ἐξάγ δ´· ἐλαίου παλαιοῦ, οὐγγ δ´· στύρακος· ἰρίνου ἐλαίου, ἀνὰ ἐξάγ β´· κηροῦ, οὐγγ δ´· πετρελαίου ἤ ἀντὶ πετρελαίου, βάλε μύρον τοῦ Ἁγίου Βαρβάρου, οὐγγ α´· ταῦτα βράσας πάντα καλῶς, ἀπόθου ἐν ἀγγείῳ· ἐπὶ δὲ τῆς χρείας δίδου.

γ´ Ἄλειμμα τοῦ Μαρκιάτου· ὠφελεῖ πρὸς παραλυτικοῖς καὶ πρὸς ὑδρωπικοῖς καὶ πρὸς πᾶσαν νευρικὴν διάθεσιν: 3

Δάκρυον λυγαίας, δράμ δ´ καὶ ἥμισυ· νάρδου, δράμ ζ´· ὑσσώπου ὑγροῦ· μαστίχην, ἀνὰ δράμ γ´· κηροῦ τρακταίου, δράμ ι´· γλευκίνου, δράμ η´· ὀμφακίνου ἐλαίου, δράμ θ´· μυελοῦ ἐλαφίου· βαλσάμου· τερεβινθίνης, ἀνὰ δράμ β´· ταῦτα πάντα βράσας καὶ σκευάσας καλῶς, ἀπόθου ἐν ἀγγείῳ· ἐπὶ δὲ τῆς χρείας, δίδου.

δ´ Ἄλειμμα, τὸ Μαρκιάτον ἄλλον· διὰ πείρας εἰς τὸ αὐτό· ἔχει: 4

Σμύρνης· βδελλίου· χαλβάνην· ἀμμωνιακὸν· ἀλόης ξανθῆς· ὀποπάνακος· μαστίχην· βουτύρου· νάρδου· κύπερι· γλευκίνου· ῥητίνης· τερμεντίνην, ἀνὰ ἐξάγιον α´· εὐφόρβιον· κηροῦ· κολοφωνία, ἀνὰ στάγιον α´, ξυλόκοκκα β´· στέατος ταύρου, ἐξάγια β´· στέατος χοιρείου, ἐξάγιον α´· πηγάνου, ἐξάγιον ἥμισυ· στέατος ἀρκείου, ἐξάγια β´· μυελοῦ ἐλάφου· ἄσφαλτον, ἀνὰ ἐξάγιον α´· δαφνελαίου, ἐξάγια β´· βαλσάμου, ἐξάγιον α´·

---

**0, 1** Ἀρχὴ – 2 Ἀλειμμάτων om. X | ἐκ om. L **1, 1** Ἀντίδοτος L | πρὸς[2] om. X | πάνυ καλόν om. P X | ἡ σύνθεσις X **2** ἐλαίου[2] om. X | μυρσίνου P | ἐλαίου[3] om. X **3** πρόπολιν P ¦ προπολέου X **4** λευκοῦ καθαροῦ om. P | τὸ ἀρκοῦν X **5** ταῦτα om. P | καὶ om. L | καὶ βράσας om. P | βράσον L | ἀποθέμενος L | χρῶ P ἐπὶ – 6 δίδου] δίδου τοῖς πάσχουσιν ἐν τῇ χρείᾳ, ἀλείφεσθαι L **2, 1** εἰς X | τοῖς om. L | τρομικοῖς X ¦ add. ὠφέλιμον L | ἡ σύνθεσις X **2** ἀμμωνιακοῦ P | καστορίου P **3** δ´[1]] οὐγγ ἥμισυ ἐξάγ α´ P **4** post παλαιοῦ add. λίτρα α´ ἢ | post δ´[2] add. χρῶ· τινὲς δὲ ἐμβάλουσιν καὶ P | ἤ – 5 ταῦτα om. X **5** ἐμβάλουσιν τὸ P | οὐγγ – 6 δίδου om. P **6** καλῶς – δίδου om. X **3, 1** τὸ Μαρκιάτον P X | ποιεῖ P ¦ om. X ¦ ὠφελοῦν L | πρὸς[1]] εἰς X καὶ[1] om. L | καὶ πρὸς[1] om. X | καὶ[1] – ὑδρωπικοῖς om. P | πρὸς[3] om. X **2** post διάθεσιν add. Ἔχει P ¦ ἡ σύνθεσις X **4** ὀμφακέλαιου X **5** ταῦτα om. X | ταῦτα – 6 δίδου] χρῶ P | βράσον L | καὶ – 6 δίδου om. X **4, 1** τὸ[1] – αὐτό] ἄλλον διὰ πεῖρας ὡς τὸ Μαρκιάτον ὠφελεῖ P | ἄλλον – αὐτό] εἰς τὰ αὐτὰ νοσήματα ὠφέλιμον διὰ πείρας L | διὰ πείρας om. X | ἡ σύνθεσις X **2** ἀμμωνιακοῦ P | ξανθῆς om. X **3** κυπέρου P L | ῥέτιναν S τρεμεντίνη X | εὐφορβίου P **4** post κηροῦ add. ῥητίνην πευκὴν P | ταυρείου P **6** ἐλαφείου P X L ἀσφάλτου P | δαφνέλαιος S

δᾳδελαίου, ἐξάγια δ΄· ἐλαίου κοινοῦ, οὐγγιῶν ι΄· κηροῦ ταρκταίου, οὐγγιῶν ϛ΄· σκευάσας καλῶς ταῦτα, ἀπόθου ἐν ἀγγείῳ καὶ δίδου.

5 ε΄ Ἄλειμμα τὸ Μαρκιάτον, ὁμοίως ἄλλον καλόν:

Σκίλλης, οὐγγ ἥμισυ· βράσον αὐτὴν μετ᾽ ἐλαίου· εἶτα θλῖψον αὐτήν, εὖ μάλα· εἶτα θὲς κάχρυος, στρουθίον· κηροῦ, ἀνὰ ἐξάγ α΄ καὶ ἥμισυ· χαλβάνην· προπόλεως, ἀνὰ οὐγγ ἥμισυ· καστόριν, οὐγγ ἥμισυ καὶ τέταρτον· ἀδάρκην, εὐφόρβιον· νίτρου, ἀνὰ ὁλκὴν α΄· πυρέθρου, ὁλκῆς τέταρτον· δάφνης τῶν φύλλων· ὀποπάνακος· νάπυος· πευκεδάνου, ἀνὰ ὁλκῆς ἥμισυ· ἡδυόσμου· ἐλελισφάκου, οὐγγ ἥμισυ, ἐξάγ ἥμισυ καὶ τέταρτον· ῥητίναν· τερμεντίνην, οὐγγ α΄· πηγάνου φύλλα· κινναμώμην· σίνηπι, ἀνὰ ἐξάγ β΄ καὶ τέταρτον· κόστου, οὐγγ ἥμισυ καὶ ὀξούγγιν ἄρκου· χοιρείου καὶ μυελοῦ ἐλάφου, ἀνὰ οὐγγ ἥμισυ καὶ κηρίου, οὐγγ β΄· σκευάσας, ἀπόθου ἐν ἀγγείῳ καὶ δίδου.

6 ϛ΄ Ἄλειμμα ἄκοπον· ὠφελεῖ πρὸς παραλυτικοῖς καὶ πρὸς ἰσχιαδικοῖς, χρονίοις· ἔχει:

Ἐλαίου παλαιοῦ, οὐγγ δ΄· ἴρινον· στυρακίνου ἐλαίου, ἀνὰ οὐγγ α΄· τερεβινθίνης· ἀμμωνιακόν· πεπέρεως κοινοῦ· καστόριν· εὐφόρβιον· ὀποπάνακος· χαλβάνην· μυελοῦ ἐλάφου, ἀνὰ ἐξάγ β΄· δαφνέλαιον, οὐγγ α΄· κηρίνου, οὐγγ β΄ καὶ σκευάσας καλῶς, ἀπόθου ἐν ἀγγείῳ καὶ δίδου.

7 ζ΄ Ἄλειμμα ἄκοπον· ὠφελεῖ, πρὸς ἰσχιαδικοῖς καὶ ὀπισθοτονικοῖς· ὠφελεῖ καὶ πρὸς πᾶσαν νευρικὴν διάθεσιν ἔχει:

Κηροῦ, οὐγγ α΄· τερεβινθίνης, οὐγγ β΄· ἀμμωνιακόν, ἐξάγ δ΄· ὀποπάνακος· χαλβάνην· μυελοῦ ἐλάφου· μυελοῦ ταύρου, ἀνὰ ἐξαγ β΄· ὑσσώπου ἁπαλοῦ, ἐν ἀγγείῳ.

8 η΄ Ἄλειμμα ἄκοπον· τὸ διὰ καστορίου καὶ τοῖς τρομώδεσιν· ἔχει:

Ὑσσώπου ὑγροῦ· μυελοῦ ἐλάφου· ἀμμωνιακὸν· χαλβάνην, ἀνὰ ἐξάγ γ΄· καστορίου· εὐφορβίου· ἀδάρκου· ὀποπάνακος, ἀνὰ ἐξάγ β΄· νίτρου· ἰρίνου ἐλαίου, ἀνὰ ἐξάγ α΄· ἐλαίου παλαιοῦ· στυρακίου, ἀνὰ οὐγγ β΄ καὶ σκευάσας καλῶς, ἀπόθου ἐν ἀγγείῳ· ἐπὶ δὲ τῆς χρείας δίδου.

---

**7** δᾳδίνου ἐλαίου P | κοινοῦ om. X | τράκτου X | χρῶ P ¦ βράσας πάντα X **8** post δίδου add. ἐπὶ τῆς χρείας L **5, 1** τὸ – καλόν] ἕτερον· ὅμοιον·Ἔχει: P ¦ ἕτερον τοῦ Μαρκιάτου· ἡ σύνθεσις X | post καλόν add. λαβών L **2** αὐτὴν om. X | καλῶς X | καὶ πάλιν ἔμβαλε P **3** κάγχρυος X | πρόπολιν P **5** φύλλων δάφνης L | τῶν φύλλων om. X | νάππι P **7** ῥητίνης L | τρεμεντίνην X | κινναμώμου X | σίνηπι om. X ¦ σινίππεως L **8** λέπος P ¦ στέατος X | ἀρκείου X **9** κηροῦ P X L | σκευάσας – δίδου] χρῶ P ¦ βράσας πάντα X | post δίδου add. ἐπὶ τῆς χρείας L **6, 1** ὠφελεῖ om. P X | πρὸς[1]] εἰς X | παραλυτικοὺς P | καὶ πρὸς om. X | πρὸς[2] om. P ἰσχιαδικοὺς P | ἡ σύνθεσις X **2** ἰρίνου add. ἐλαίου P | ἐλαίου om. X **3** ἀμμωνιακοῦ P | κοινοῦ om. P X κόστου P | εὐφορβίου P X | χαλβάνης P **4** ἐλαφίου P | δαφνίνου ἐλαίου P ¦ δαφνελαίου X L | κηροῦ P X L ἑνώσας, χρῶ P ¦ βράσας πάντα X **5** post δίδου add. ἐπὶ τῆς χρείας L **7, 1** ὠφελεῖ[1] om. X | ὀπισθοτονικοῖς καὶ ἰσχιαδικοῖς P | ὠφελεῖ[2] om. L | ὠφελεῖ καὶ om. X **2** ἡ σύνθεσις X **3** ἀμμωνιακοῦ P **4** ἐλαφίου L | μυελοῦ ταύρου om. L | ἁπαλοῦ – ἀγγείῳ] μέλιτος ἀνὰ ἐξάγ γ΄ ἐλαίου καλοῦ οὐγγ β΄χρῶ.-P | post ἀγγείῳ add. μέλιτος ἀττικοῦ ἀνὰ ἐξάγ γ΄ ἐλαίου οὐγγ β΄· βράσας πάντα X ¦ add. καὶ σκευάσας ἀπόθου ἐν ἀγγείῳ ἐπὶ δὲ τῆς χρείας δίδου L **8, 1** post Ἄλειμμα add. ἄλλον P | ἐπὶ L ¦ εἰς X | καὶ – τρομώδεσιν in finem praecepti P | ἡ σύνθεσις X **2** ἀμμωνιακοῦ P X **3** ἀδάρκου om. L **4** στύρακος P | καὶ σκευάσας] μαλάξας χρῶ· ἔστι δὲ τοῦτο L | καὶ – 5 δίδου] βράσας πάντα X | ἀπόθου – 5 δίδου om. P **5** δίδου om. L

θʹ Ἄλειμμα ἄκοπον· ὠφελεῖ ὀπισθοτονικοὺς καὶ κατηγμένους, παραλελυμένους, 9
παραξηραμένους καὶ μὴ δυναμένους κινεῖσθαι καὶ ἐπὶ πάντα ἀλγήματα· ἔχει:

Δᾳδίνου ἐλαίου· δαφνίνου· κυπρίνου· σχοινίνου· ἰρίνου τῶν ἐλαίων, ἀνὰ ἐξάγ ςʹ· νάρδου καλοῦ, οὐγγ βʹ· βουτύρου· τερεβινθίνης, ἀνὰ οὐγγ αʹ· ὑσσώπου ὑγροῦ· μυελοῦ ἐλάφου, ἀνὰ ἐξάγ γʹ· στέατος ταυρείου καὶ χοιρείου καὶ χηνείου, ἀνὰ οὐγγ αʹ· χαλβάνην, ἐξάγ δʹ· ὀποπάνακος, ἐξάγ γʹ· εὐφόρβιον, ἐξάγ ἥμισυ· καστόριν· ἀμμωνιακόν· στύρακος, ἀνὰ ἐξάγ γʹ· πεπέρεως, ἐξάγ βʹ· βδέλλιον, ἐξάγ γʹ· κηροῦ, λίτρα ἥμισυ· κολοφωνίας, οὐγγ βʹ· σμύρνης, ἐξάγ βʹ· ἐλαίου παλαιοῦ, ξεστίου ἥμισυ· ἑνώσας ταῦτα πάντα καὶ σκευάσας καλῶς, ἀπόθου ἐν ἀγγείῳ, ἐπὶ δὲ τῆς χρείας δίδου.

ιʹ Ἄλειμμα, τὸ διὰ σαμψύχου, πάγχρηστον εὐῶδες καὶ πρὸς τὰ ἐν νεύροις πάντα 10
ἀλγήματα, ὠφέλιμον καὶ πρὸς γυναικείους πόνους, ἀντὶ πεσσοῦ, μαλάσσον καὶ κατάγον καὶ πρόσωπα ἀνασκευάζει καὶ εὐχρόων, σαρκοποιεῖ καὶ λαμπρύνει τοῦτο καὶ ἐπὶ πολυτίμων σωμάτων, οἱ ἔμποροι χρῶνται· ἔχει:

Σαμψύχου· τῆλις· μυρσίνης ἀγρίας· ἥν ἔνιοι, λιβανωτίδα καλοῦσιν, ἀνὰ ξεστίου ἥμισυ· οἴνου καλοῦ Ἰταλικοῦ, ξεστίον αʹ· βρέξας ὁμοῦ ἡμέρας δʹ· ἔπειτα ἐν κίθρᾳ καινῇ ὁμοῦ βαλών, ἕψε μετʼ ἐλαίου Ἰταλικοῦ, κινῶν ἀδιαλείπτως· ὅταν δὲ ὁ οἶνος ἀναλωθῇ, πρόσβαλε κηροῦ, λίτρα ἥμισυ καὶ ἥξει εἰς λίτρα αʹ καὶ ἥμισυ καὶ ταράξας καλῶς, ἄρας ἀπὸ τοῦ πυρὸς καὶ ἔασον, ψυχρανθῆναι καὶ ἀνελοῦ, εἰς κεράμιον σκεῦος· ὅταν δὲ θέλεις αὐτὸ μαλακτικώτερον καὶ εὐωδέστερον ποιῆσαι, πρόσβαλε μελίλωτον, μέρη βʹ καὶ κασίας, ὁλκὰς εʹ καὶ συνέψει τοῖς προγεγραμμένοις καὶ σκευάσας καλῶς, ἀπόθου ἐν ἀγγείῳ καὶ δίδου.

ιαʹ Ἄλειμμα χαλαστικόν, ποιοῦν κατά πάντα δαιμόνιον καὶ παραλυτικοὺς καὶ 11
περιεργασθέντα ἰᾶται· ποιεῖ δὲ καὶ πρὸς πᾶσαν ψῦξιν, ἰσχιάδος· ἔχει:

Στέατος λεοντείου· Λημνίας σφραγῖδος· πολίου· μυελοῦ ἐλαφείου· πευκεδάνου· χαλβάνην· ὀποπάνακα· εὐφόρβιον· καστόριν, ἀνὰ οὐγγ αʹ· μαστίχης· στύρακος·

**9, 1** post ἄκοπον add. ἄλλον P | ὠφελεῖ om. P X ¦ ὠφελοῦν L | post καὶ add. πρὸς P | post κατηγμένους add. καὶ P ¦ καταγματικοῖς L | post παραλελυμένους add. καὶ P **2** καὶ$^{2}$ – ἀλγήματα om. X | πάσιν L | πάντων ἀλγημάτων P | ἀλγήμασιν L | ἡ σύνθεσις X **3** δᾳδελαίου X | σχοινανθίνου X | τῶν ἐλαίων om. X **4** καλοῦ om. X **5** ἐλάφου om. L | καὶ$^{1}$ om. P | καὶ$^{2}$ om. P | χηνὸς X **6** εὐφορβίου P X | post ἥμισυ add. στέαρ ἀλώπεκος P | καστορίου P X | ἀμμωνιακοῦ P X **8** ζζ P | ταῦτα πάντα ἑνώσας L | ἑνώσας – 9 δίδου] οἴνῳ χρῶ P ¦ βράσον πάντα X **10 , 1** post πάγχρηστον add. καὶ L | καὶ om. X | πάντα om. X **2** ἀλγήματα ὠφέλιμον om. P | ὠφέλιμον om. X | post πόνους add. χρήσιμον L | μαλάσσας add. προστιθέμενον P | post κατάγον add. ἔμμηνα L **3** πρὸς πάντα P ¦ πρόσωπον X | εὔχρουν P ¦ εὔχροια add. καὶ L | ποιεῖ L | post λαμπρύνει add. καὶ σαρκοποιεῖ L | καὶ$^{4}$ – 4 χρῶνται om. X **4** χρῶνται δὲ τοῦτῳ οἱ εὔποροι L | ἡ σύνθεσις X **5** post τῆλις add. ζζʹʹ ἢ P ¦ τήλεως L | σμύρνης L **6** καλοῦ Ἰταλικοῦ om. X | βρέξον X | εἶτα L | ἐν – 7 βαλών om. X | καινή om. L **7** ἕψει X | μετʼ ἐλαίου Ἰταλικοῦ ἕψε L | Ἰταλικοῦ om. X **8** ἐπίβαλε L ¦ πρόσθες X | ἥμισυ$^{1}$] αʹ ἢ ἥμισυ τοῦ λίτρου P | καὶ$^{1}$ – ἥμισυ$^{2}$] καὶ μαλάξας P | καὶ$^{3}$ – καλῶς om. P | post καλῶς add. εἶτα L | ἄρας – 9 καὶ$^{1}$ om. X **9** post καὶ$^{1}$ add. διειθήσας P ¦ om. L | ψυγῆναι P | εἶτα βάλε L | καὶ$^{2}$ – σκεῦος om. X | κεραμεοῦν L | post σκεῦος add. καὶ χρῶ P | εἰ X L **10** αὐτοῦ P ¦ om. X | μαλακώτερον L δυσουδέστερον P | πρόσθες X ¦ πρὸς ἔμβαλε L | δύο L **11** συνέψησον L | καὶ$^{2}$ – 12 δίδου om. X | σκευάσας – 12 δίδου] χρῶ P **12** post δίδου add. ἐπὶ τοῖς χρείας L **11, 1** ἐνεργοῦν L | πρὸς L | πᾶν L | δαιμωνίους X ¦ add. ὠφελεῖ δὲ L | καὶ$^{1}$] πρὸς τοῖς P | καὶ$^{2}$ – 2 δὲ om. X **2** περιεργασθέντα – δὲ om. L | τοῖς ἀπὸ ψύξεως L ἰσχιαδικοῖς L | ἡ σύνθεσις X **4** ὀποπάνακος P X | εὐφορβίου P X | καστορίου P X | βʹ ἢ αʹ P

δικτάμνου Κρητικοῦ· κασίας, ἀνὰ ἐξάγ α΄· κηροῦ Τυρρηναϊκοῦ καὶ κηροῦ λευκοῦ, ἀνὰ οὐγγ δ΄· ἐλαίου παλαιοῦ, λίτρα δ΄· ταῦτα πᾶν ἑψήσας ἐν μαλθακῷ πυρὶ καὶ ἄρας ἀπὸ τοῦ πυρός, ταράσσων ἐφ' ἱκανὴν ὥραν, εὐτόνως· λέγων δὲ καὶ τὴν ὑπογεγραμμένην εὐχὴν ταύτην, τρίτον· ἐν τῷ τοιούτῳ ἀλείμματι· ἔστιν δὲ πάνυ καλόν, χάριτι Θεοῦ:

Εἰς τὸ μέγα ὄνομα τοῦ Θεοῦ τοῦ παντοδυνάμου· ὁρκίζω σε ἄλειμμα τὸν φρικτὸν ὅρκον· ἰαθῶ· Σαλαθγήλ· φευγέτω πᾶν κακὸν καὶ πᾶν δαίμων· τριοδίτης καὶ τετραιοδίτης καὶ πᾶν ἄωρον καὶ ὑδρόπνικτον καὶ ἐπιτύμβιον καὶ εἰδωλοκάτοχον καὶ πᾶν ἀπάντημα καὶ πᾶν φάρμακον καὶ πᾶν φάντασμα καὶ πᾶν φαρμακείαν καὶ πᾶς κατάδεσμος καὶ πᾶν ἐπιπεμπτέον πνεῦμα καὶ πᾶσα σκιά, βιαίου θανάτου ἢ μονομάχου ἢ σφαγιμαίου ἢ πεπνιγμένου ἢ θηριομάχου ἢ καταδίκου ἢ πυρικαύστου ἢ ἀποκεφαλισθέντων ἢ κρεμνισθέντων ἢ ἀγχονιμαίου ἢ ὑδρωπνιγμένου· ἄπελθε ἀπὸ τοῦ δούλου τοῦ Θεοῦ ὀδύνη τοῦ δι' αὐτοῦ κατασκευασθέντος καὶ μέλλοντος χρίεσθαι ἐξ αὐτοῦ τοῦ ἀλείμματος, εἰς θεραπείαν· ἤτοι δὲ πᾶν πάθος· εἰς ὥρας ἀλείψεται ἐκ τοῦ ἀλείμματος τούτου καὶ εἰς αὐτὸν ἐλθέτω θεραπεία ἐκ τῆς μεγάλης δυνάμεως τοῦ Θεοῦ παντοκράτορος·

Ἔτι ὁρκίζω σε, κατὰ τοῦ μεγάλου ὀνόματος τοῦ Θεοῦ παντοκράτορος· ἰᾶ· ἰή· ἐᾶ· ὠέ· μωσωΐ· ἰάμερε· ἰηῶ· σῶ· Μιχαήλ· Ῥαφαήλ· Ὀριῆλ· Σελεμεὴλ· Ἀβρασάρξ· Ἀβλανάθαν· Ἀλβά τῶν πάντων στερεωμάτων Σαβαώθ· τὸν ποιήσαντα τὴν οἰκουμένην· Ἐλωεόν· τὸν πλάσαντα τὸν ἄνθρωπον· Ἀδωναΐον· ἔτι ἐπικαλοῦμαι, τὴν μεγάλην δύναμιν, τῶν ἐπὶ τῶν Χερουβὶμ, μόνον ἑστῶτα· σὲ τὸν ἐπὶ τοῦ πυρὸς θρόνον καθήμενον· Ἰαῶ· Ἄκραμμα Χαμερί· Ἀβρασάρξ· Ἀονεόν· Ἐλεόν· ἡ δύναμις ἡ μεγάλη ἐλθὲ καὶ σκήνωσον, ἐπὶ τοῦ ἀλείμματος τούτου καὶ ἐκ τῆς ἀπορροίας, ἐπίσταξον δύναμιν θεραπείας· εἰς τὸ ἀλείμματι τοῦτο καὶ τῇ μεγάλῃ σου ἐπιδεξιότητα· δίωξον· φυγάδευσον, ἐκ τοῦ ἀλείμματος τούτου· πᾶν κακὸν καὶ πᾶν πάθος καὶ πάντα πόνον καὶ πᾶν ῥεῦμα· ἀπὸ τοῦ δούλου τοῦ Θεοῦ ὁ δεινός, ἀμήν· τρίτον ἐπικαλούμεθά σε Κύριε, Σελάμ· Μεελάμ· Σελάμ· Ἰεώ· Βάφρενε, Μονοθεΐ· Λακρυφία· Εὐβέε· Φιληΐράλιθον· οὐ ὁ Μανὲρ· Φαβουὴ καὶ ὅταν ἀλείφῃς τὸν πάσχοντα, τὴν ἀλοιφὴν ταύτην, λέγε τὰ τοιαῦτα· τοῦτο δεδοκιμάσθαι, θαρρῶν ἐν Κυρίῳ, δόκιμον· γένοιτο, γένοιτο.

---

**5** Κυρηναϊκοῦ L **6** δ΄[1]] α΄ P | βράσας πάντα X | πάντα P L | ἕψων κινηP | ἐν – 7 εὐτόνως om. P | εἶτα L **7** εὐτόνως – 8 Θεοῦ om. X | ἐπιλέγων P | δὲ om. L | δὲ καὶ om. P | τὰ ὑπογεγραμμένα P | εὐχὴν – 8 ταύτην om. P **8** post τρίτον add. οὕτως P ¦ ἐκ τρίτου L | ἐν – Θεοῦ om. P | τῇ κατασκευή τοῦ τοιοῦτου ἀλείμματος L **9** Εἰς – παντοδυνάμου om. P | Εἰς – 32 γένοιτο[2] om. X ¦ eras. L | μέγα om. R **10** Σαλαθιήλ P R **12** πᾶν[3]] πᾶσα P | πᾶν P | κονταδεσμος R **13** βιῶ S | ἐσφαγμένου R **14** ἀποκεφαλισθέντος· R **15** κρημνισθέντος R | ἀγχωνισθέντος R | ἐν ὕδατι πεπνιγμένου R **16** δι' – καὶ om. R | post κατασκευασθέντος add. τὸ τοιοῦτον ἄλειμμα P | ἐξ – τοῦ[2]] ἐκ τοῦ τοιοῦτου R | τοῦ[2] – 17 ἀλείμματος[1] om. P **17** ἥτις P | ἤτοι δὲ om. R | παντὸς R | εἰς[2]] καὶ ὡς ἐν R | ὥρα add. ἀγαθή R | ἀλείψεται – 18 καὶ om. R **18** ἐλθέτω εἰς αὐτὸν R **20** Ὅτι R **21** σῶ om. R | Οὐριήλ R | Ἀβρασάρξ – 22 στερεωμάτων post οἰκουμένην P **23** παρακαλοῦμεν R **24** ἄκραμ μαχαμερὴ P **25** ἀδωνεῶν P R | ἐλωεὸν P R **26** post τῆς add. σῆς R δυνάμεως ἀπόρροιαν, θεραπείαν· ἐπίσταξον R | ἄλειμμα P R **27** ἐπιδεξιότητι R | ἀποδίωξον R | ἐκ om. R ἐκ – τούτου om P **28** τοῦ Θεοῦ] σου P **29** σε] σου R | σε Κύριε om. P | μελάμ R | Σελάμ[2] om. R **30** post Εὐβέε add. θῆθ P | φιλ κιραλίθον P | φαβουὲ P | τὸν – 31 ταύτην om. P **31** τὴν – ταύτην om. R | ἐπίλεγε P | ταῦτα P ¦ τὴν τοιαύτην τὴν εὐχὴν R | τοῦτο – 32 γένοιτο[2] om. R | post δεδοκιμάσθαι add. γὰρ παρὰ πάντων τῶν ἐμπείρων P | δεδοκίμαστε add. εἰς πᾶντα τὰ προειρημένα καὶ οὔτε ποίησον P **32** γένοιτο γένοιτο] γὰρ ἐστὶ.-P

ιβʹ Ἄλειμμα, πάνυ καλόν, πρὸς νεύρων διακράτησιν καὶ πρὸς ποδαλγικοὺς καὶ ἀρθριτικοὺς καὶ πρὸς πᾶσαν νευρικὴν διάθεσιν καὶ πρὸς ξηρότηταν νεύρων· ἔχει: 12

Λαβὼν ἀλώπεκα ζῶσαν καὶ θὲς ἔλαιον σὺν αὐτῇ εἰς τὸν λέβητα, ὅσον λίτρα κʹ καὶ θὲς ἀνήθου σπόρον· ἄμεως· στοιχάδος· καρναβάδιν· βούκεριν καὶ σελίνου σπόρον, ἀνὰ οὐγγ βʹ καὶ βράσας ἀμφότερα, εἰς τὸ ἔλαιον σὺν τῆς ἀλώπεκος ζώσης· ὥστε διαλυθῆναι, τὸ πᾶν τῆς σαρκός, τῆς ἀλώπεκος εἰς τὸ ἔλαιον· εἶτα σείρωσον τὸ ἔλαιον· μετὰ ῥάσου ἀραιοῦ καὶ λαβὼν ἐξ αὐτοῦ τοῦ ἐλαίου, λίτρα δʹ· θὲς ἐν τῷ λέβητι· εἶτα θὲς κινναμώμην, οὐγγ ἥμισυ· στάχος, ἐξάγ βʹ καὶ βράσας καλῶς· πάλιν σείρωσον· εἶτα πάλιν τὸ ἐν ἀποληφθὲν ἔλαιον· θὲς ἐν τῷ λέβητι καὶ θὲς σὺν αὐτῷ πάλιν· ἐλαίου ναρδίνου· ἐλαίου δαφνίνου, ἀνὰ οὐγγ βʹ· οὐξήγγιν λέοντος στρουθοκαμήλου· ἀσβοῦ· νήσσου· χηνὸς· ταύρου ἄρκτου· ὑοῦ· ὄρνιθος, ἀνὰ οὐγγ βʹ καὶ ἥμισυ· βουτύρου παλαιοῦ, οὐγγ γʹ· τερμεντίνην, οὐγγ αʹ καὶ ἥμισυ· μυελοῦ ἐλάφου, οὐγγ ἥμισυ καὶ τέταρτον· χαλβάνην, οὐγγ γʹ· ὀποπάνακα· καστόριν· ἀρμονιακόν· στουράκι· καλαμίτα· βδέλλιον, ἀνὰ οὐγγ αʹ· καλάμου ἀρωματικοῦ, οὐγγ βʹ· μύρα, ἐξάγ βʹ· σεραπίωνα· μυελοῦ ὀστοῦ τοῦ ὄνου· λέπος κάπρου, ἀνὰ οὐγγ αʹ καὶ ἥμισυ· δι᾽ ἀλθαίας, οὐγγ γʹ καὶ ἕτερα τινὰ οὐξήγγια, ἄλλα ὅσα ἀνευρεθῶσιν, ἀνὰ οὐγγ βʹ· ταῦτα πάντα βράσας· σὺν τοῦ ἄνωθεν· εἰρημένου ἐλαίου, ὥστε ἅπαντα διαλυθῆναι σὺν αὐτῷ· εἶτα ἄρας ἀπὸ τοῦ πυρός, τάρασσε αὐτά, ἐφ᾽ ἱκανὴν ὥραν εὐτόνως, ὥστε ψυχρανθῆναι· μετὰ δὲ τοῦτο, θὲς ἐν ἀγγείῳ· ἐπὶ δὲ τῆς χρείας, διάλειφε χλιαρὰ τὰ νεῦρα τὰ κεκρατημένα καὶ οὕτως ποίει.

ιγʹ Ἄλειμμα, τὸ δι᾽ εὐφορβίου· βαρβαρικόν· ὠφελεῖ δὲ πρὸς ἰσχιαδικοὺς καὶ εἰς ἄλλα πολλὰ πάθη· ἔχει: 13

Ὀποπάνακος, οὐγγ ἥμισυ· κηροῦ Τυρρηναϊκοῦ, λίτρα ἥμισυ· τερεβινθίνης, λίτρα τέταρτον· χαλβάνην, οὐγγ ἥμισυ· ἀμμωνιακοῦ θυμιάματος· εὐφορβίου· καστορίου· πεπέρεως λευκοῦ, ἀνὰ οὐγγ αʹ· μυελοῦ ἐλαφείου, οὐγγ βʹ· ὑσσώπου ὑγροῦ, οὐγγ τέταρτον· ἀδάρκην, οὐγγίας τέταρτον· ἐλαίου στυρακίνου· ἰρίνου· δαφνίνου καὶ ἀμαρακίνου, ἀνὰ οὐγγίας γʹ· ἐλαίου παλαιοῦ, λίτρα αʹ· ἡδυχρόου, οὐγγ γʹ καὶ σκευάσας καλῶς, ἀπόθου ἐν ἀγγείῳ· ἐπὶ δὲ τῆς χρείας, δίδου.

---

**12, 1** ιβʹ deest P | πάνυ καλόν om. X | διακράτησιν – 2 ἔχει] ξηρότηταν διακράτησιν καὶ πᾶσαν νευρικὴν διάθεσιν καὶ πρὸς ποδαλγικοῖς καὶ ἀρθρητικοῖς· L | καὶ[2] om. X **2** καὶ[1] om. X | ἡ σύνθεσις X **3** Λαβὼν om. X | καὶ θὲς[1]] μετ᾽ X | θὲς[1]] ἔμβαλε L | ἐλαίου X | σὺν – ὅσον om. X | θὲς[2]] om. X ¦ ἔμβαλε L **4** σπόρον[1]] σπόρου X | σπόρον[2] om. X **5** ἀμφότερα – τῆς] ὁμοῦ μετὰ τῆς L | ὁμοῦ πάντα X | διαλυθῇ L | τὸ[2] – 6 σαρκός om. X **6** τὸ σῶμα L | τὴν ἀλώπεκα X | εἰς – ἔλαιον[1]] ὑπὸ τοῦ ἐλαίου L | εἰς – εἶτα] om. X | μετὰ ταῦτα L | τὸ ἔλαιον[2] om. X **7** ἀραιοῦ om. X | ἐκ τοῦ τοιοῦτου L | ἐκ τοῦ σειρωθέντος X | θὲς[1]] βάλε L θὲς[1] – θὲς[2]] καὶ X | θὲς[2]] βάλε add. ἐν αὐτῷ L **8** λίτρα L | εἰς δὲ X | τοιοῦτον L **9** θὲς[1]] πρόσθες X ¦ βάλε L ἐν – πάλιν om. X | βάλε L | ναρδελαίου X | ἐλαίου[2] – 10 δαφνίνου] δαφνελαίου X **10** στέατος X | νήσσης X **11** ὑὸς X **13** καστορίου X | ἀμμωνιακοῦ L | στύρακος X L | καλαμίτου X L | βδελλίου L **14** σεραπίωνος X L **15** λίπος X L | κάτου S ¦ κάπου L | διλυταίαν S ¦ διαλυτέας L | ἄλλα X **16** ἄλλα om. X | ὅσον ἄν L μετὰ L | τοῦ – 17 ἐλαίου] τῷ ῥηθέντι ἐλαίῳ X **17** ἕως οὗ πάντα L | διαλιθιῶσι L | σὺν – εἶτα om. X | αὐτὰ ἐφ᾽ om. X **18** εὐτόνως om. X | ἕως L | μετὰ – ἀγγείῳ om. X | ἀπόθου L **19** ἄλειφε X ¦ λειαίνων L | χλιαρὰ om. L | χλιαρὰ – ποίει om. X | ἄλειφε L **13, 1** post βαρβαρικόν add. ἄλειμμα P | ὠφελεῖ δὲ om. P X ¦ ὠφελοῦν L | καὶ – 2 πάθη om. X | εἰς om. P ¦ τοῖς ὑπὸ L **2** ἡ σύνθεσις X **3** Τυρρηναϊκοῦ om. X **4** αʹ, οὐγγ γʹ P | χαλβάνην – θυμιάματος om. L **5** μυελοῦ om. L | ἐλάφου P | οὐγγ[3] – 6 τέταρτον[1]] βʹ P **6** ἀδάρκην – τέταρτον[2] om. X | ἐξαγ αʹ καὶ ἥμισυ P | καὶ om. X **7** καὶ μαλάξας χρῶ P ¦ βράσας πάντα X

14 ιδʹ Ἄλειμμα, ἡ πῆξις ἔστι πάνυ καλὸν καὶ θαυμαστή· ἔχει:

Κολοφωνίας· κηροῦ, ἀνὰ λίτρα ἥμισυ καὶ τέταρτον· τερεβινθίνης, οὐγγ δʹ· ἀμμωνιακοῦ θυμιάματος, οὐγγ αʹ καὶ ἥμισυ· λιβάνου, οὐγγ δʹ· ἐλαίου παλαιοῦ, οὐγγ βʹ· λινοσπόρου χυλόν· γάλακτος βοείου, ἀνὰ λίτρα ἥμισυ, στέατος χοιρείου, οὐγγ γʹ· βουτύρου, οὐγγ δʹ· ᾠῶν τὰ λευκά, ιβʹ καὶ σκευάσας καλῶς, ἀπόθου ἐν ἀγγείῳ πυξίνῳ· ἐπὶ δὲ τῆς χρείας, δίδου.

15 ιεʹ Ἄλειμμα τὸ διὰ τῆς ἐλάτης Γαληνοῦ· ὠφελεῖ, ἐπὶ τῶν ποδαλγικῶν τε καὶ ἀρθριτικῶν παθῶν· ἔχει:

Ἐλάτης σπέρμα· πεφαϊνῆς μοδικῆς Ἰταλικῆς, ξεστία ιςʹ· ἐλαίου κοινοῦ, λίτρα ζʹ καὶ ἥμισυ· κηροῦ καθαροῦ, λίτρα ἥμισυ· ῥητίνης, στροβιλίνης ἢ τερμεντίνης, λίτρα βʹ· συνελάσας τὸ σπέρμα τῆς ἐλάτης, ἔμβαλε εἰς τὸ ἔλαιον μόνον καὶ ἐάσας ἡμέρας μʹ καὶ ἐκπιάσας, ῥῖψον τὰ εἴδη καὶ μίξας τὰ λοιπὰ σὺν τῷ ἐλαίῳ καὶ σκευάσας καλῶς πάντα, ἀπόθου ἐν ἀγγείῳ· ὠφελεῖ δέ, πρὸς τοῖς αὐτομάτοις τόποις καὶ παρέσεις καὶ τὰς τῶν ἄρθρων ψύξεις· εἰ δὲ κατεπείγει τὰ τῆς χρείας, ἕψε δεῖ τὸ σπέρμα τῆς ἐλάτης, σὺν τῷ ἐλαίῳ ἐπιμίξαντος· ὑπὲρ τοῦ μὴ καμφθῆναι καὶ ὕδατος, ξεστία βʹ· κάλλιον δὲ ἐστίν, ἰρίνου ἐμβαλεῖν καὶ σκευάσας δίδου.

16 ιςʹ Ἄλειμμα ἄλλον, τὸ διὰ τῆς ἐλάτης· ὠφελεῖ, ὡς τὸ πρὸ τούτου· ἔχει:

Ἐλαίου κοινοῦ, ξεστία ςʹ καὶ τέταρτον· τοῦ καρποῦ τῆς ἐλάτης, λίτρα ἥμισυ καὶ τέταρτον· ῥητίνας στροβιλίνης ἢ τερεβινθίνης· κηροῦ τρακταίου· τρίψας πάντα καὶ σκευάσας καλῶς, ἀπόθου ἐν ἀγγείῳ· ἐπὶ δὲ τῆς χρείας δίδου.

17 ιζʹ Ἄλειμμα τὸ διὰ τῆς αἰγείρου· πρὸς τὰ αὐτὰ πάθη· ἔχει:

Ἀντὶ τοῦ καρποῦ τῆς ἐλάτης, καρποῦ τῆς αἰγείρου, τὸ ἴσον ποσὸν βαλὼν καὶ ἐλαίου, τὸ ἀρκοῦν καὶ βράσας καλῶς, σείρωσον· εἶτα θὲς κηροῦ καθαροῦ, οὐγγ γʹ· τερμεντίνην καὶ ῥητίνης στροβιλίνης, ἀνὰ οὐγγ δʹ καὶ σκευάσας καλῶς, ἀπόθου ἐν ἀγγείῳ· ἐπὶ τῆς χρείας δίδου.

---

**14, 1** τήξις S | ἔστι om. L | ἔστι – καὶ om. X | ἔστι – ἔχει om. P | θαυμαστὸν X | ἡ σύνθεσις X **2** οὐγγ γʹ P **4** χυλοῦ P X | βοείου L **5** δώδεκα P | καὶ om. P | βράσας ταῦτα X | καλῶς om. P | πυξίνῳ om. L **6** καὶ χρῶ P **15, 1** om. X ¦ ὠφελοῦν L | ὠφελεῖ – 2 παθῶν om. P | εἰς X | ποδαλγικοὺς X | τε καὶ om. X | ἀρθριτικοὺς X **2** παθῶν om. X | ἔχει ἡ σύνθεσις X ¦ add. δὲ αὕτης L **3** σπόρου X | μοδῶν P | Ἰταλοῖς P | ςʹ P X L κοινοῦ om. P X **4** καθαροῦ om. P X | στροβιλίτης L | τερμεντίνης P L **5** συνθλάσας P X L | μόνον om. P L | ἔασον add. κεῖσθαι L | τεσσαράκοντα P | καὶ[2]] εἶτα L **6** ἐκπιέσας X | ῥιψας L | τὰ εἴδη om. P | σὺν – 7 δέ om. P | τοῦ ἐλαίου S ¦ add. πάντα L | καὶ[2] – πάντα om. X | πάντα om. L **7** ἐν ἀγγείῳ om. X | δέ om. X τοὺς αὐτομάτους P | τοῖς – καὶ[1] om. X | τόπους P ¦ πόνοις L **8** τὰ om. X | ἕψει X | δεῖ om. X | τοῦ ἐλαίου S **9** μίξας X L | καυθῆναι X L | δύο P | ἐστίν om. P **10** ἰρίνῳ X | καὶ μαλάξας ἐπὶ τῶν ποδαγρικῶν τε καὶ ἀρθριτικῶν παθῶν P | post καὶ add. οὕτω L | καὶ – δίδου om. P X **16, 1** τῆς om. P | ὠφελεῖ om. X ¦ ὠφελοῦν L | ὠφελεῖ – τούτου om. P | ὡς – τούτου] καὶ αὐτὸ εἰς τὰ ὅμοια πάθη L | ἡ σύνθεσις X **2** κοινοῦ om. P X **3** ῥητίνης X L | στροβίλου P | τερμεντίνης add. λίτρα αʹ καὶ ἥμισυ P | λίτρ αʹ καὶ ἥμισυ P | τρακταίου – 4 δίδου] βράσας πάντα X | μαλάξας ὁμοῦ P **4** συγκεράσας καὶ δεύσας P | καλῶς om. P | ἐν ἀγγείῳ om. P χρῶ P **17, 1** ιζʹ deest P | post αἰγείρου add. ὠφελοῦν L | εἰς L | ἡ σύνθεσις X **2** Ἀντὶ – ἐλάτης om. X | τὸ – βαλὼν om. X | βαλὼν om. L **3** post ἀρκοῦν add. ὁμοίως L | καὶ om. X | καθαροῦ om. X | τερμεντίνης L **4** καὶ ῥητίνης om. L | καὶ[2] – 5 δίδου] βράσας πάντα X

ιη´ Ἄλειμμα τὸ Ζωσιμᾶ· σύγχρισμα· πρὸς τρόμους περιβόητον· ἔχει: 18

Πιτυΐνης, οὐγγίας η´· κηροῦ, οὐγγ β´· ἐλαίου κοινοῦ, λίτρα ἥμισυ· ὀποπάνακος, οὐγγ α´· ἀδάρκης· εὐφορβίου, ἀνὰ οὐγγ ἥμισυ· νίτρου· ἀφρονίτρου ἁπαλοῦ, ἀνὰ οὐγγ β´· λάβε δὲ τὸ νίτρον, τὸ εὐφόρβιον καὶ τὴν ἀδάρκην καὶ λῦε σὺν οἴνῳ· εἶτα, ἐπίβαλε τὸν ὀποπάνακα καὶ σὺν λειοτριβήσας, χωρὶς δὲ τὰ τηκτά· μετὰ τῆς ἀγχούσης· τῆξον, ἵνα χρωσθῇ καὶ ψύξας, ἀναλάμβανε καὶ ἀπόθου ἐν ἀγγείῳ· ὠφελεῖ δὲ καὶ πρὸς σπληνικοῖς, τὸ τοιοῦτον θαυμαστῶς.

ιθ´ Ἄλειμμα δρῶπαξ, ὀνομαζόμενος, Γάλλος, Ὀρειβασίου· ἔχει: 19

Κολοφωνίας τῆς λιβανιζούσης· πιτυΐνης καὶ τῆς ξυλώδους καλουμένης, ἐν Ἰταλίᾳ, μόνης γινομένης ἀπὸ χύματος· πίσσης ξηρᾶς· κηροῦ καθαροῦ, ἀνὰ λίτρα β´· φρυκτῆς, οὐγγ ζ´ καὶ ἥμισυ· πίσσης· βρυτίας, λίτρα ς´· νίτρου, λίτρα ἥμισυ· ἀσφάλτου· χαλβάνης· ἀδάρκης· πυρέθρου, ἀνὰ οὐγγ ιγ´· ὀποπάνακος· εὐφορβίου· ἐλλεβόρου λευκοῦ· πεπέρεως κοινοῦ, ἀνὰ οὐγγ β´· θείου ἀπύρου, οὐγγ α´ καὶ ἥμισυ· καστορίου· ἀμμωνιακοῦ· δαφνίδος ἀγρίας, ἀνὰ οὐγγ α´· ἐλαίου Σικυωνίου, λίτρα ἥμισυ ἢ ὀποῦ βαλσάμου, οὐγγ γ´ καὶ σκευάσας καλῶς, ἀπόθου ἐν ἀγγείῳ· ἐπὶ δὲ τῆς χρείας δίδου.

κ´ Ἄλειμμα ἄλλον, δρῶπαξ ἄπους ὀνομαζόμενον· ἔχει: 20

Κηροῦ, λίτρα ἥμισυ· πίσσης ξηρᾶς, λίτρα ἥμισυ καὶ τέταρτον· βρυτίας, λίτρα ἥμισυ· πιτυΐνης, λίτρα ἥμισυ καὶ τέταρτον· φρυκτῆς, λίτρα ἥμισυ, οὐγγ α´ καὶ ἥμισυ· προεκνιτρώσας τὸν τόπον καὶ σκευάσας καλῶς ἐπιτίθη.

κα´ Ἄλειμμα τὸ διὰ στακτῆς, ἰσχιαδικούς· ἀρθριτικοὺς καὶ οἰδηματώδεις· δέχεται: 21

Κηροῦ καθαροῦ· ἐλαίου παλαιοῦ· κονίας πρωτοστακτῆς, ἀνὰ λίτρα ἥμισυ· φρυκτῆς· νίτρου πρώτου Ἀλεξανδρινοῦ· νίτρου λευκοῦ, ἀνὰ οὐγγ γ´· τὰ νίτρα λείου σὺν τῇ κονίᾳ καὶ σκευάσας καλῶς, ἀπόθου ἐν ἀγγείῳ· ἐπὶ δὲ τῆς χρείας δίδου.

---

**18, 1** post τὸ add. διὰ τῆς σκευασίας τοῦ P ¦ τοῦ L | τρομικοῖς P | καὶ σπληνικὸν X | ἡ σύνθεσις X **2** χρῶ P ¦ om. X **3** post α´ add. ἁλός P L | παλαιοῦ P **4** λάβε δὲ om. X | καὶ[1] om. X | πρόσθες X **5** καὶ τρῖψον καὶ λείωσον ὁμοῦ L | καὶ – 7 θαυμαστῶς] om. X **6** post χρωσθῇ add. εἶτα ἑνώσας πάντα L | καὶ[2] – ὠφελεῖ] τοῦτο ποιεῖ P | post ἀγγείῳ add. ἐπὶ δὲ τῆς χρείας δίδου L | post δὲ add. τὸ τοιοῦτον L | πρὸς om. L **7** τὸ τοιοῦτον om. L | τὸ – θαυμαστῶς om. P **19, 1** Ἄλειμμα om. P | ὀνομαζόμενος om. P | ἡ σύνθεσις X **3** καθαροῦ om. P **4** βλυτίας L | οὐγγ ς´ P **5** γ´ P X L **6** κοινοῦ om. P X **7** σταφίδος P | δαφνίδων ἀγρίων L ὀποβαλσάμου X **8** καὶ – δίδου om. X | καλῶς – δίδου] χρῶ P **20, 1** Ἄλειμμα om. P | δρῶπαξ ἄλλος P λάπους P | ἄπους ὀνομαζόμενον transp. X **3** πιτύης P | α´ – ἥμισυ[3]] ζ´ οὗ ἀλλ’ οὐγγ α´ καὶ ἥμισυ P **4** καὶ – καλῶς om. P X | post ἐπιτίθη add. αὗται εἰσὶν ἔμπλαστρον οἱ σκευασίαι X ¦ add. αἱ τοιαῦται σκευασίαι εἰσὶν ἔμπλαστοι L **21, 1** κα´ in margine Αὗται εἰσὶν καὶ ἔμπλαστρα, αἱ σκευασίαι. S | Ἄλειμμα om. P | post στακτῆς add. ὠφελοῦν L | ἐπὶ οἰδήμασι L | ἔχει P ¦ ἡ σύνθεσις X **2** καθαροῦ om. P X **3** πρωτείου X | λειώσας L | τὴν κονία P **4** καὶ – δίδου om. X | σκευάσας – δίδου om. P | ἐν ἀγγείῳ om. L

22 κβʹ Ἄλειμμα τὸ διὰ νίτρου· πρὸς ἀποστάσεις καὶ σκληροὺς ὄγκους· ἔστι πάνυ καλὸν καὶ ὠφέλιμον· ἔχει:

Ἐλαίου παλαιοῦ· κηροῦ καθαροῦ· ἀφρονίτρου· σαπωνίας· κονίας πρωτοστακτῆς, ἀνὰ λίτρα ἥμισυ· τερεβινθίνης, οὐγγ γʹ· χαλβάνην· προπόλεως· ἀμμωνιακοῦ χυλοῦ, ἀνὰ οὐγγ ἥμισυ· σκευάσας καλῶς, ἀπόθου ἐν ἀγγείῳ, ἐπὶ δὲ τῆς χρείας δίδου.

23 κγʹ Ἄλειμμα, τὸ διὰ ἁλῶν, πάνυ καλὸν καὶ ὠφέλιμον· ἔχει:

Κηροῦ καθαροῦ, οὐγγίας βʹ· ἐλαίου, λίτρα ἥμισυ· ἁλῶν κοινῶν· ἀφρονίτρου, ἀνὰ οὐγγ βʹ· ψιμύθιν, οὐγγ δʹ· ὄξους, οὐγγ βʹ καὶ σκευάσας καλῶς, ἀπόθου ἐν ἀγγείῳ· ἐπὶ δὲ τῆς χρείας δίδου.

24 κδʹ Ἄλειμμα ἄλλον, τὸ διὰ ἁλῶν· ἔχει:

Ἁλῶν κοινῶν· νίτρου, ἀνὰ οὐγγ βʹ· κηροῦ παλαιοῦ, οὐγγ γʹ· ὕδατος θαλασσίου τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς δίδου.

25 κεʹ Ἄλειμμα, ἡ διὰ πέρνης· πωρολυτική· ἔχει:

Πέρνης χοιρείας παλαιᾶς, λίπους· ἀμμωνιακοῦ θυμιάματος· τηροῦ παλαιοῦ, βοείου ἢ αἰγείου· στέατος ταυρείου· ἀποχύματος, ὅπερ ἐστίν, πολούζισμα, ἀνὰ ὁλκὴ ἥμισυ· μυελοῦ ἐλάφου, οὐγγ δʹ· ὑσσώπου κηρωτῆς, οὐγγ αʹ καὶ ἥμισυ· κυπρίνου, οὐγγ γʹ· οἴνου Αἰγυπτίου τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, ἀπόθου ἐν ἀγγείῳ· ἐπὶ δὲ τῆς χρείας δίδου.

26 κϛʹ Ἄλειμμα, τὸ διὰ τοῦ οὔρου ἡμιόνου, ποδαγρικοῖς· ἔχει:

Οὔρου ἡμιόνου ἄρρενος, ξεστία βʹ· λιθαργύρου, λίτρα αʹ· ἐλαίου παλαιοῦ, μνᾶς ἥμισυ· λειώσας ἐπὶ πολλῶν πάντα ὡς γλοιῶδες γενέσθαι· ἕως ἀμολύντου καὶ σκευάσας καλῶς, ἀπόθου ἐν ἀγγείῳ· ἐπὶ δὲ τῆς χρείας δίδου.

27 κζʹ Ἄλειμμα τὸ διὰ λίθου Ἀσίου ἄνθος, Φιλαγρίου πρὸς σκίρρους· ἔχει:

Πευκεδάνου ῥίζης, Ἀσίου λίθου ἄνθος· εἰδεμὴ παρείη, ἁλῶν ἀμμωνιακῶν· προπόλεως λιπαρᾶς, ἀνὰ οὐγγ αʹ· ἀμμωνιακοῦ θυμιάματος· ἐρίων· οἰσυπηρῶν κεκαυμένων, ἀνὰ οὐγγ ἥμισυ· ἀριστολοχίας στρογγύλης· κισσήρεως· κυνείας κόπρου· ἰοῦ ξεστοῦ· λέπος χαλκοῦ· μίσυος, ἀνὰ ὁλκὰς θʹ· καστόριν, γράμματα θʹ· σμύρνης, οὐγγ αʹ καὶ ἥμισυ, οὐγγ

---

**22, 1** Ἄλειμμα om. P | ἔστι om. L | ἔστι – 2 ὠφέλιμον om. P X **2** ἡ σύνθεσις X **3** καθαροῦ om. X ἀφρονίτρου] ἀφονίτρου P ¦ ἀφωνίτου S | κονίας om. L **4** χυλοῦ om. X | πρωτοστακτῆς] σαγαπηνοῦ P **5** σκευάσας – δίδου om. X | καλῶς – δίδου] χρῶ P | post δίδου add. ὥς ἐν ἀνάγκοις L **23, 1** Ἄλειμμα om. P ἁλοῦ L | πάνυ – ὠφέλιμον om. P X | ἡ σύνθεσις X **2** καθαροῦ om. P X **3** ψιμιθίου X L | ὄξους P | post βʹ[2] add. εἰς τὸ λειῶσιν καὶ μαλάξας ἄμφω P | καὶ – 4 δίδου om. X | ἀπόθου – 4 δίδου] χρῶ P **24, 1** Ἄλειμμα om. P | ἕτερον X | τὸ – ἁλῶν] ὁμοίως P | ἡ σύνθεσις X **2** παλαιοῦ om. X | θαλαττίου P **3** καὶ – δίδου om. P X καλῶς om. L **25, 1** πτέρνης X | πόρρων λυτική X ¦ πορρώσεων λυτικὸν L | ἡ σύνθεσις X **2** χοιρείου παλαιοῦ P L | λέπος P | τηροῦ – 3 ἀποχύματος om. L **3** post ταυρείου add. στέατος P | ὅ X | ὅπερ – πολούζισμα om. P | πολούξισμα L | λίτρα P **4** ἐλαφίου L **5** καὶ – δίδου om. P **26, 1** Ἄλειμμα om. P | post οὔρου add. τοῦ X | post ἡμιόνου add. πρὸς X ¦ add. ὠφελοῦν L | ποδαγρικοὺς X | ἡ σύνθεσις X **3** λείωσον X | ἐπὶ – πάντα om. X | πολὺ S L | γενέσθαι – 4 δίδου om. X | σκευάσας – 4 χρείας] ἀνελόμενος τοῦτο P **4** χρῶ P **27, 1** Ἄλειμμα om. P | διὰ τοῦ ἄνθους, Ἀσίου λίθου P | ἄνθος ἄνθους X ¦ om. L | σκυρώσεις add. ὠφέλιμον συντεθὲν ὑπὸ Φυλαγρίου L | κίρρους S **2** ῥίζαν P | ἄνθους X | post παρείη add. οὕτως, ἔμβαλε P | ἁλὸς ἀμμωνιακοῦ P L | προπόλεως – 3 ἀμμωνιακοῦ om. P **5** καστορίου P | ζζ P

α΄ καὶ ἥμισυ· ἰξοῦ δρυίνου, οὐγγ α΄ καὶ ἥμισυ· κηροῦ, οὐγγ ϛ΄ καὶ τέταρτον· πιτυΐνης, οὐγγ ϛ΄ καὶ τρίτον· πίσσης βρυτίνης, οὐγγ θ΄ καὶ τέταρτον, γράμματα γ΄· ἐλαίου παλαιοῦ καὶ ὄξους δριμυτάτου, τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, δίδου ἐν ἀγγείῳ· ἐπὶ δὲ τῆς χρείας, δίδου.

κη΄ Ἄλειμμα, τὸ αὐτόν, Γαληνοῦ· ἔχει: 28

Κηροῦ· τερεβινθίνης, ἀνὰ λίτρα ἥμισυ· λίθου Ἀσίου· μάννης, ἀνὰ οὐγγ α΄ καὶ ἥμισυ· κυπρίνου, οὐγγ α΄· ὕδατος πηλοποιόν τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, ἀπόθου ἐν ἀγγείῳ· δίδου.

κθ΄ Ἄλειμμα, τὸ δι᾽ ἁλός ἄνθους· ἀρθριτικὸν ἐν παρακμαῖς: 29

Τερεβινθίνης φρυκτῆς· πιτυΐνης· κηροῦ καθαροῦ, ἀνὰ λίτρα ἥμισυ· πίσσης ξηρᾶς· στυπτηρίας σχιστῆς· ἁλὸς ἄνθους, ἀνὰ οὐγγ γ΄· ἕψε ἐν διπλώματι καὶ σκευάσας καλῶς· ἀπόθου ἐν ἀγγείῳ· ἐπὶ δὲ τῆς χρείας δίδου.

λ΄ Ἄλειμμα τροφός· σαρκωτική, ἕλκωσις· ἔχει: 30

Ῥοδίνου· τερεβινθίνης· μέλιτος, ἀνὰ οὐγγ α΄· ψιμύθου· βουτύρου· λιβάνου, ἀνὰ οὐγγ ἥμισυ καὶ σκευάσας καλῶς, δίδου.

λα΄ Ἄλειμμα τὸ Ἰταλικόν· καθαίρει τὰ ῥυπαρὰ καὶ σαρκοῦν· ἔχει: 31

Ἐρινεοῦ, τὸν ἁπαλὸν φλοιόν· ἑψήσας ἐν ἐλαίῳ, ῥῖψον τὸν φλοιὸν καὶ τήξας ἐν τῷ ἐλαίῳ, θὲς κηροῦ πυρροῦ, τὸ αὔταρκες, σὺν αὐτῷ καὶ σκευάσας καλῶς, δίδου.

λβ΄ Ἄλειμμα, ἡ χρυσιέναιμος, θαυμαστή· ἔχει: 32

Λιβάνου στυπτηρίας σχιστῆς, ἀνὰ οὐγγ α΄· κολοφωνίας· ῥητίνης κηροῦ, ἀνὰ οὐγγ α΄ καὶ ἥμισυ· ἐλαίου παλαιοῦ, λίτρας ἥμισυ καὶ σκευάσας καλῶς, ἀπόθου ἐν ἀγγείῳ καὶ δίδου.

**7** τέταρτον P | βρυτίας L | post οὐγγ$^{2}$ add. ϛ΄ καὶ ἥμισυ ἢ P **8** καὶ$^{2}$ – 9 δίδου om. P X | ἀπόθου L | καὶ δίδου ἐπί τῆς χρείας L **28, 1** post τὸ add. δι᾽ P | ἄλλον τὸ διὰ λίθου Ἀσίου L | post αὐτόν add. Ἀσίου λίθου ἄνθους ἐκ τῶν τοῦ P | post Γαληνοῦ add. εἰς τὸ αὐτὸ πάθος ὠφέλιμον L | ἡ σύνθεσις X **2** τερεβινθίνης – οὐγγ om. S **3** πυρίνου S | ὕδατος – 4 δίδου om. X | πηλώδοις L | καὶ – 4 δίδου om. P **4** post ἀγγείῳ add. ἐπὶ δὲ τοῖς χρείας L **29, 1** Ἄλειμμα om. P ¦ add. ἄλλον L | ἄνθους P ¦ add. ὠφελοῦν L | post παρακμαῖς add. ἔχει P L ¦ add. ἡ σύνθεσις X **2** καθαροῦ om. P X **3** ἄνθους P | ἕψε – 4 δίδου om. X | σκευάσας – 4 δίδου] χρῶ P **4** ἐπὶ – δίδου om. L **30, 1** Ἄλειμμα om. P | στροφὸς P | ἡ σύνθεσις X **2** ψιμύθου P ¦ ψιμιθίου L | λιβάνου om. P **3** post ἥμισυ add. ἢ δὲ βούλει ἔμβαλε καὶ λίβανον, ὅσον οὐγγ ἥμισυ P | καὶ – δίδου om. X | σκευάσας – δίδου] χρῶ P **31, 1** Ἄλειμμα om. P | καθαίρον P L | σαρκοῖ X **2** Ἀγρίας σικὺς P ¦ εἰρηνεοῦ S | post φλοιόν add. οὗ L | post ἐλαίῳ add. εἶτα L | ἀπόριψον L | ῥῖψον – 3 ἐλαίῳ om. X | τὸν φλοιὸν om. P **3** πρόσθες X πυρροῦ om. X | ἀρκοῦν X | ἐν L | σὺν – καλῶς] καὶ ποιήσας ὡς μωτὸν P | σὺν – δίδου om. X | post καὶ add. καὶ λειώσας καὶ L | δίδου] χρῶ P ¦ add. τοῖς χρήζουσιν L **32, 1** Ἄλειμμα om. P | τὸ χρυσιώνυμον L Χρυσὴν ἔναιμος P | θαυμαστή om. P ¦ θαυμαστὸν L | ἡ σύνθεσις X **2** κηροῦ – 4 δίδου lac. 16 litt. et una linea vacua P **3** καὶ$^{2}$ – 4 δίδου om. X | καλῶς – καὶ$^{3}$ om. L

33 λγ΄Ἔλιγμα, καταγραμματικόν, Ὀρειβασίου· ἔχει:

Πίσσης βρυτίας, λίτρα ἥμισυ, οὐγγ β΄· λιθαργύρου, λίτρα ἥμισυ, οὐγγ β΄· χαλβάνης· ὀποπάνακος, ἀνὰ οὐγγ ἥμισυ· κηροῦ, οὐγγ β΄· ἐλαίου παλαιοῦ, λίτρα ἥμισυ· ὄξους τὸ ἀρκοῦν καὶ σκευάσας δίδου.

34 λδ΄ Ἄλειμμα, καταγματικόν, πρὸς τὰς ἐν τραύματι καὶ ἄνευ τραυμάτων, ἐκ τῶν Ἡρακλέους· ἔχει:

Πίσσης ξηρᾶς, μνᾶς ἥμισυ· μάννης· μνᾶς τέταρτον· στέατος μοσχείου· λιθαργύρου, ἀνὰ μνᾶς ἥμισυ· κηροῦ Τυρρηναϊκοῦ, οὐγγ ιγ΄· ὀποπάνακος, ὁλκὰς δ΄· κυπρίου χαλκοῦ, ἀνὰ μνᾶς ι΄ καὶ τέταρτον· τερεβινθίνης, μνᾶς ἥμισυ καὶ τέταρτον· χαλκοῦ, οὐγγ ἥμισυ· κίκεως ἢ ἐλαίου παλαιοῦ, κο<χλιαρίου> ἥμισυ· ὄξους κο<χλιάριον> τέταρτον καὶ σκευάσας καλῶς δίδου.

35 λε΄ Ἄλειμμα τὸ διὰ τῆς αἰγείας κόπρου· τὸ καλούμενον σπογγίον, ὑδρωπικῆς· ἔχει:

Πίσσης βρυτίας, λίτρα α΄ καὶ τέταρτον· νίτρου, λίτρα ἥμισυ· κολοκυνθίδος ἐντεριώνης, οὐγγ α΄ καὶ ἥμισυ· καππάρεως ῥίζης τοῦ φλοιοῦ, οὐγγ γ΄· δαφνίδων, ξεστίου τέταρτον· λιβάνιν· ἴρεως, ἀνὰ οὐγγ γ΄· τήλεως ἀλεύρου· ὀποπάνακος, ἀνὰ οὐγγ α΄ καὶ ἥμισυ· στέατος ταυρείου, οὐγγ γ΄· χολῆς ταυρείας οὐγγ α΄· ἐλατηρίου, οὐγγ τέταρτον· λεπίδος χαλκοῦ, οὐγγ γ΄· κόκκου κνιδίου, οὐγγ α΄ καὶ ἥμισυ· ἐλαίου κυπρίνου, ξεστίου τέταρτον· κηροῦ, λίτρα τέταρτον· φρυκτῆς, λίτρα β΄ καὶ ἥμισυ· αἰγείας κόπρου ὀρεινῆς, οὐγγ α΄ καὶ ἥμισυ· κάχρυος· κυπέρου, ἀνὰ οὐγγ γ΄· καρδαμώμου, ξέστιον α΄ καὶ ἥμισυ καὶ σκευάσας καλῶς δίδου.

36 λς΄ Ἄλειμμα τὸ διὰ σαμψύχου, καλόν· ἔχει:

Κηροῦ, λίτρα ἥμισυ· τερεβινθίνης, λίτρα α΄· σαμψύχου· δαφνίδος· τήλεως, ἀνὰ ξεστίου ἥμισυ· ἐλαίου ναρδίνου τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, δίδου.

37 λζ΄ Ἄλειμμα, τὸ ἐρυθραῖον, πάνυ καλόν· ἔχει:

Στύρακος· μήλων· κυδωνίων, ἀνὰ οὐγγ γ΄· μασουαφίου, ὁλκὰς ε΄· κρόκου, ὁλκὰς θ΄· ψυχῶν, οὐγγ β΄ καὶ ἥμισυ· κύφεως, οὐγγ β΄ καὶ ἥμισυ· οἴνου ἄνθος· κασάμου· ψιμύθιν, ἀνὰ ὁλκὰς ε΄· μαστίχην· καρεοφύλλου, ἀνὰ ὁλκὰς ζ΄· ἀμμωνιακοῦ θυμιάματος,

---

**33, 1** Ἄλειμμα X | καταγματικὸν P L | ἡ σύνθεσις X **2** λίτρα ἥμισυ[1] om. P | λιθαργύρου – β΄[2] om. L | λίτρα ἥμισυ[2] om. P | β΄[2]] γ΄ ἢ δ΄ add. λιβάνιν τερεβινθίνην ἀνὰ οὐγγ β΄· στέατος ταυρείου οὐγγ δ΄ P **3** ἐξάγ α΄ καὶ ἥμισυ P | α΄ P | οὐγγ γ΄ P **4** καὶ – δίδου om. P X | post δίδου add. τοῖς χρῄζουσι L **34, 1** Ἄλειμμα om. P post καταγματικόν add. ὠφέλιμον L | καὶ τὰ ἔχοντα τραύματα add. κατάγματα L | τὰ P | εἰς τὰ μὴ ἔχοντα L **2** Ἡρακλέως P | ἡ σύνθεσις X **3** μνᾶς[1]] μιᾶς L | post ἥμισυ add. ἢ τὸ ἕν τέταρτον P | μάννης – τέταρτον om. P | μάννης – 4 ἥμισυ om. L **4** Κυρηναϊκοῦ L | post δ΄ add. ἰοῦ ξεστίου, κυπρίνου P | κυπρίνου X **6** κοχλιαρίου ἥμισυ] ἢ κικίνου κοχλιάριον ἕν τέταρτον ἢ τὸ ἥμισυ P | χρῶ P ¦ βράσας πάντα X **35, 1** Ἄλειμμα om. P | κόστου L | σπογγεῖον καλούμενον P | post σπογγίον add. ὠφελοῦν L | ὑδρωπικούς X L **2** α΄, οὐγγ γ΄ P **3** ἐντεριώνης om. X | α΄ – ἥμισυ om.; lac. 6 litt. P | φλοιοῦ τῆς ῥίζης L | τοῦ om. X **4** τέταρτον om. et lac. 4 litt. P | ἴρεως om. P | ἀλεύρου om. X **6** κοκκοκνίδης X **7** οὐγγ γ΄ P **8** κάγχρυος X **9** καὶ om. P βράσον πάντα X | καὶ μαλάξας P ¦ add. ἀπόθου ἐν ἀγγείῳ ἐπὶ δὲ τῆς χρείας δίδου.- L | δίδου χρῶ P **36, 1** Ἄλειμμα om. P | ἄλλον P ¦ om. X **3** μύρου P | ναρδελαίου X | καὶ – δίδου om. P X **37, 1** Ἄλειμμα om. P πάνυ καλόν om. P X | ἡ σύνθεσις X **3** ψυχίων L | οἰνάνθης P | ἄνθους X | κασίας P | ψιμιθίου X L **4** καρυοφύλλου X | καὶ ἥμισυ P

γράμματα ε′· νάρδου, οὐγγ γ′· κολοφωνίας, οὐγγ ε′· γλευκίνου· προπόλεως, ἀνὰ οὐγγ β′ καὶ ἥμισυ· τερεβινθίνης, ὁλκὰς ε′ καὶ ἥμισυ· δεκαφύλλου, ὁλκὰς ε′· ναρδοστάχυος, ὁλκὰς ε′ καὶ ἥμισυ· οἴνου Φαλερίνου ἢ ἀμιναίῳ· λειώσας ταῦτα πάντα καὶ σκευάσας καλῶς· ἀπόθου ἐν ἀγγείῳ· ἐπὶ δὲ τῆς χρείας, δίδου.

λη′ Ἄλειμμα ἄκοπον, τὸ δι᾽ εὐφορβίου· παρὰ Ἀρτεμιδώρου Περγαίου τοῦ ἰητροῦ· πάνυ καλόν· ἔχει: 38

Ὀποπάνακος· ἀμμωνιακοῦ· εὐφορβίου· πεπέρεως λευκοῦ· χαλβάνην· ὑσσώπου ὑγροῦ, ἀνὰ ἐξάγ β′· μυελοῦ ἐλαφείου, ἐξάγ δ′· κηροῦ, οὐγγ β′· δαφνίνου· στυρακίνου, ἀνὰ οὐγγ α′· ἐλαίου παλαιοῦ, οὐγγ ἥμισυ· τὰ τηκτά, μετὰ τοῦ ἐλαίου τήξας· εἶτα ἄρας ἀπὸ τοῦ πυρός, ἐπίχεε τὸν ὀποπάνακα, κατατετηκότα, καθ᾽ ἰδίαν, ἐν ὀλίγῳ ἐλαίῳ καὶ κίνει ἰσχόμενος, ἔμβαλε τὸν κηρὸν καὶ τελευταῖον, μίξας τὰ μύρρα καλῶς· κατέρασον εἰς θυίαν καὶ σκευάσας καλῶς, δίδου.

λθ′ Ἄλειμμα λυσιπόνιον· ποιοῦν πρὸς ῥήγματα· σπάσματα· κρούσματα· ῥεύματα· πρὸς σπληνικούς· νεφριτικούς· πρὸς κεφαλαίαν· πρὸς κωλικούς· σύριγγαν· καταπτώματα· περὶ θλάσματα καὶ πρὸς ἄλλα τινὰ πάθη· ἔχει: 39

Πυρέθρου· πεπέρεως· ἀδάρκης, ἀνὰ ἐξάγ α′· ὀποπάνακα· χαλβάνην, ἀνὰ ἐξαγ β′· εὐφόρβιον, ἐξάγ α′· καστόριν, ἐξάγ β′· τερεβινθίνης, οὐγγ ἥμισυ, ἐξάγ α′· ὑσσώπου ὑγροῦ· μυελοῦ ἐλαφείου, ἀνὰ ἐξάγ β′· ἐλαίου στυρακίνου· ἰρίνου· μυρίνου, ἀνὰ οὐγγ α′· κυπρίνου, οὐγγ η′· ἀμαρακίνου, οὐγγ α′· δαφνίνου ἐλαίου, ὀποῦ βαλσάμου, ἀνὰ ἐξάγ δ′· κηροῦ, λίτρα ς′ καὶ τέταρτον· ἤτοι οὐγγ β′ καὶ σκευάσας ταῦτα πάντα καλῶς, δίδου.

μ′ Ἄλειμμα ἄκοπον, τοῦ Ὠρίωνος τοῦ κτενιστοῦ· ἔχει: 40

Κηροῦ, οὐγγ α′· προπόλεως, λίτρα ἥμισυ· ἴρεως Ἰλλυρικῆς· τερεβινθίνης, ἀνὰ οὐγγ η′· ὀποπάνακος, λίτρα ἥμισυ· ἐλαίου παλαιοῦ, οὐγγ η′· χαλβάνης, οὐγγ δ′· ἐλαίου σχοινίνου· ἐλαίου μυρσίνου· ἀμμωνιακόν· μυελοῦ ἐλαφείου, ἀνὰ λίτρα ἥμισυ· ὑσσώπου ὑγροῦ, λίτρα α′· ἐλαίου δαφνίνου, οὐγγ β′· ἐλαίου στυρακίνου· στέατος μοσχείου, ἀνὰ λίτρα ἥμισυ· στέατος λεοντείου· ὀποῦ βαλσάμου, ἀνὰ οὐγγ γ′· σκευάσας καλῶς χρῶ, ὡς καλλίστου φαρμάκου· ἔστι δὲ καὶ γυναιξὶ συμφερώτατον· ὅσαις ἐγένοντο φλεγμοναί,

**5** post ε′[2] add. καὶ ἥμισυ P | γλαυκίνου L **6** ε′[1] – ἥμισυ[2]] ι′P | φύλλου P **7** ε′ – ἥμισυ om., lac. 3 litt. P Φαλερίνου – ἀμιναίῳ] τὸ ἀρκοῦν X | ἀμιναίου P L ¦ add. τὸ ἀρκοῦν L | ταῦτα πάντα λειώσας L | λείου καὶ χρῶ P | ταῦτα om. X | καὶ[2] – 8 δίδου om. X **38, 1** Ἄλειμμα – εὐφορβίου] Ἄκοπον, τὸ δι᾽ ἐφορβίου ἄλειμμα P | post εὐφορβίου add. συντεθὲν L | ἰατροῦ X L | πάνυ – 2 καλόν om. P X **2** ἡ σύνθεσις X **3** ἀρμωνιακοῦ S **4** ὑγροῦ om. P | ἐλάφου P **5** τοῦ om. X | τῆξον X | ἄρας – 6 πυρός om. X **6** τετηκότα P X | κακεῖνον L εἶτα L **7** ἐχόμενος P ¦ ἰσχυρῶς L | ἐμβαλὼν L | κατακέρασον X ¦ καὶ μίξας πάντα L **8** καὶ – δίδου om. X οὕτως χρῶ P | ἀπόθου ἐν ἀγγείῳ καὶ δίδου ἐπὶ τῆς χρείας L **39, 1** λυσίπονον L | ποιοῦν om. P X ¦ ὠφελοῦν L κρούσματα, θλάσματα L | πρὸς[2] om. P **2** σπληνικοὺς P | νεφριτικοὺς P | πρὸς κεφαλαίαν om. L | post κεφαλαίαν add. ὁμοίως P ¦ κεφαλαλγίαν X | κωλικοὺς P | καταπτώματι P **3** περὶ θλάσματα post κρούσματα L | καὶ – πάθη om. P X | ἔχει] ἡ σύνθεσις X **4** ὀποπάνακος X L **5** εὐφορβίου L | καστορίου P X L **6** ἐλάφουP **7** δαφνελαίου X | ὀποβαλσάμου X **8** λίτρα – ἤτοι om. P | καὶ[2] – καλῶς] μαλάξας P | καὶ[2] – δίδου om. X | ταῦτα πάντα om. L | post καλῶς add. ἀπόθου ἐν ἀγγείῳ L | χρῶ P ¦ add. ἐπὶ τῆς χρείας L **40, 1** Ἄλειμμα om. P | ἡ σύνθεσις X **2** Ἰλλυρικῆς om. X **4** μυρσινελαίου X | ἀμμωνιακοῦ P X | ἐλάφου P **5** δαφνελαίου X **6** ὀποβαλσάμου X | σκευάσας – 7 ἐγένοντο] ὠφελεῖ πρὸς X | καλῶς om. P ¦ add. δίδου L χρεῖσθαι L | ὡς – 7 φαρμάκου om. L **7** φλεγμονὰς X

περὶ τὴν ὑστέραν ἢ σκληρίαν ἢ σκῖρος· ἐν πεσσῷ προστιθέμενον, τοῦτο· ποιεῖ δὲ τὸ τοιοῦτον καὶ πρὸς ὠτίων πόνους· χρεῖ δὲ μίσγειν· μετὰ ῥοδίνου ἢ κυπρίνου ἐλαίου τὸ φάρμακον καὶ σκευάσας καλῶς, δίδου.

41 μα΄ Ἄλειμμα, ποιοῦν πρὸς πάντα πόνον καὶ κόπον τοῦ σώματος· ἔστι πάνυ καλὸν καὶ ὠφέλιμον· ἔχει:

Ὀποπάνακος· χαλβάνην, ἀνὰ οὐγγ ἥμισυ· καστόριν· μαστίχην, ἀνὰ ἐξάγ <γ΄>· εὐφορβίου· πηγάνου ξηροῦ, ἀνὰ ἐξάγ α΄· μυελοῦ ἐλαφείου· δαφνίνου ἐλαίου· κηροῦ καθαροῦ· τερεβινθίνης· ἀμμωνιακοῦ· κολοφωνίας, ἀνὰ οὐγγ α΄· ναρδίνου ἐλαίου· κυπρίνου· ἰρίνου, ἀνὰ οὐγγ β΄· ὀποῦ βαλσάμου, ἐξάγ α΄· πεπέρεως κοινοῦ· στέατος χηνὸς καὶ ὀρνίθου, ἀνὰ ἐξάγ δ΄ καὶ σκευάσας ταῦτα πάντα καλῶς, δίδου ἐπὶ τῆς χρείας· χρῶ.

42 μβ΄ Ἄλειμμα, τὸ διὰ κίτρων· ὠφελεῖ, πρὸς πελιώματα καὶ φακοὺς ἐν προσώπῳ καὶ οὐλὰς καὶ ἡλιοκαΐας καὶ λειχῆνας ἐν τῷ σώματι καὶ ψαχνίδας καὶ εἰς ἁλμυρὸν φλέγμα ἐν τῷ δέρματι, ὡς λειχῆνας φαινόμενον· ἔχει:

Λίθου βοραχίου, δράμ β΄· καμφοράν, δράμ α΄· κοραλλίου λευκοῦ, οὐγγ ἥμισυ· ἀμίαντον· μπελίρικι θαλάσσιον· τετράγκανθον· ἄμυδον· κρυστάλλιν· ἄνταλι· τένταλι· λιβάνιν λευκόν· νίτρον, ἀνὰ δράμ γ΄· μάρμαρον λευκὸν καθαρόν, δράμ β΄ μετὰ γὰρ ψιμυθίου τοῦ σκευαζομένου μετὰ τῆς δρακοντίας, οὐγγ α΄· ἑτέρου ψιμυθίου· τοῦ σκευαζομένου μετὰ μολύβδου, οὐγγ ς΄· ὀλμοκοπήσας ταῦτα πάντα· μετὰ στέατος ὑοῦ λευκοῦ· εἶτα· ἔνλυψον κίτρου τὴν σάρκα· τὸ ὀξούγγιν ἀναλελυμένον καὶ ἔασον βράσαι πυρὰν μίαν, εἰς τὸ κοῦφον τοῦ κίτρου· εἶθ’ οὕτως ἔχε τὰ ἄνωθεν εἰρημένα εἴδη,

---

**8** ὑστέρας X | σκίρωσις L | ὡς πεσσός L | post πεσσῷ add. καταχρειόμενον καὶ P | τοῦτο om. P X L ὠφελεῖ L | τοῦτο P ¦ om. X **9** πόνους P | μῖσγε δὲ X ¦ μιγνύμενον L | ἐλαίου om. P | τὸ – 10 δίδου om. X L **10** καὶ – δίδου om. P **41, 1** om. X ¦ ὠφελοῦν L | καὶ κόπον om. X | ἔστι – 2 ὠφέλιμον om. P X L **2** ἡ σύνθεσις X **3** ὀποπάνακα P | καστορίου X L | γ΄] δ΄ P L **4** ἐλάφου P **5** καθαροῦ om. P | ναρδελαίου X ἐλαίου om. P **6** ὀποβαλσάμου X | κοινοῦ om. P X **7** καὶ[1]] στέατος P | ὄρνιθος X | καὶ[2] – χρείας om. P καὶ[2] – 8 χρῶ om. X | ἀπόθου ἐν ἀγγείῳ καὶ L | ἐπὶ – 8 χρῶ om. L **42, 1** κιτρίων P | ὠφελοῦν L | πελι όμματα P | post προσώπῳ add. νεφέλης, μελανίας P | καὶ[2] om. P | post οὐλὰς add. ἡλιοκαΐας, ληχίνας ἐν προσώπῳ, ἃς καλοῦσιν ψαχνίδας καὶ ὅσα ἁπλῶς γιγνόμενα P **2** καὶ[4] – 3 φαινόμενον] ἐν τῷ δέρματι τοῦ προσώπου, ἐξ ἁλμυροῦ φλέγματος add. ἔχοντα τὴν γενεάς· ἐστὶ P **3** σώματι L | ὡς – φαινόμενον] ἐπ’ αὐθοῦν ὡς λειχήν L | φαινόμενον] φερόμενον X | ἡ σύνθεσις X **4** βοραχίας L | καμφοράς X **5** ἀμιάντου P X μπελίριτζε P | θαλασσίου add. ἤτοι lac. 8 litt. P ¦ θαλασσίου X | post τετράγκανθον add. λευκοῦ P ¦ τραγακάνθου X | ἀμύλου P | ἤτοι lac. 8 litt P **6** λιβανίου λευκοῦ P | λευκόν om. X | νίτρου P X μαρμάρου λευκοῦ P | μάρμαρον – β΄ om. X | καθαρόν om. P | μετὰ γὰρ om. P X | γὰρ om. L **7** τοῦ[1] om. X | τοῦ σκευαζομένου[1] om. P | τοῦ[1] – τῆς] καὶ L | post δρακοντίας add. βοτάνης P | ἑτέρου om. P | τοῦ[2] om. X **8** post σκευαζομένου add. πᾶλαι P | μετὰ μολύβδου σκευαζομένου L | post μετὰ[1] add. τοῦ P | λίτρα ἥμισυ P | κόψας ὁμοῦ | ταῦτα om. X | post πάντα add. ζύμωσον P | post ὑοῦ add. προσφάτου P ¦ ὑὸς X **9** λευκοῦ εἶτα om. X | ἢ πρῶτα λάβε κίτρον ἔξελε αὐτοῦ P | ἔγκλυψον X ¦ ἔκβαλον L | post σάρκα add. ἔμβαλε εἰς τὸν φλοιὸν αὐτοῦ L | καὶ ἔασον τὸ ἐκτὸς ὅπερ γένηται ὡς καυκίον καὶ ἔμβαλε ἐν αὐτῷ τὸ στέαρ τοῦ ὑοῦ καὶ βάλε ἐν θερμοσποδίαν, ὥστε ἀναλῦσαι τὰ ὁλμοτέρα ἐν αὐτῷ· εἶθ οὕτως λάβε τὰ εἰρημένα εἴδη καλῶς τετριμμένα καὶ ἔμβαλε μέστὸν τοῦ κίτρου σὺν τῷ στέατι καὶ ἀναμαλάξας καλῶς· ἄρας ἀπὸ τοῦ πυρός· ἀπόθου ἀναλόμενον ἀπὸ τοῦ κίτρου ἐν ἀγγείῳ, ἐπὶ δὲ τῆς χρείας χρῶ· εἰς τὰ προειρημένα. ἅπαντα.-P | λελυμμένον L **10** τοῦτο μετὰ L | post οὕτως add. ἡν ἐπὶ μαλακοῦ πυρός, ἔσωθεν τοῦ φλοιοῦ βάσιν μίαν L | ἐπίβαλε X | ἔχων προτετριμμένα τὰ ἄλλα εἴδη L | ῥηθέντα X

τετριμμένου ὑψηλὰ καὶ ἐπίβαλε εἰς τὸ κοῦφον τοῦ κίτρου· σὺν τοῦ ὀξουγγίου καὶ μαλάξας καλῶς, ἀπόθου ἐν ἀγγείῳ καὶ δίδου.

μγʹ Ἄλειμμα, ἤτοι Γρίππα ὀνομαζομένη· ὠφελεῖ, πρὸς ὑδρωπικούς· σπληνικούς καὶ 43
ἀλγοῦντας τὴν κοιλίαν· ἐπαλειφομένη δὲ κατὰ κοιλίας, ῥυπτικὴ τούτοις γίνεται· ἔχει:·

Βρυωνίας, λίτρα αʹ· ῥίζας ἀλθαίας ἀγρίας· σκίλλης, ἀνὰ λίτρα ἥμισυ· ἴρεως, οὐγγ αʹ καὶ ἥμισυ· ῥίζαν πτέρεως· ἔμπουλι· τριμπούλου· μαρίνου, ἀνὰ οὐγγ αʹ· κόψας πάντα ὁμοῦ· ἐπίθες ἔλαιον λίτρα αʹ καὶ πάλιν μάλαξον ὁμοῦ καὶ ἀπόθου ἐν ἀγγείῳ, ἐπὶ ἡμέρας γʹ· ἅπαντα ὁμοῦ· τὸ ἔλαιον καὶ τὰς βοτάνας· εἶτα ἔμβαλε πάντα ἐν λέβητι καὶ ἐπίθες, ἐν ἑστίᾳ καὶ βράσας καὶ μαλάξας καλῶς· σείρωσον καὶ λαβὼν τὸ ὑγρόν, ῥῖψον τὰ ξηρά· βάλε τὸ ὑγρόν, ἐν τῷ λέβητι καὶ κηρίου καθαροῦ οὐγγ ηʹ καὶ ἔασον λυθῆναι, ἐν τῇ βράσει· εἶτα ἄρας ἀπὸ τοῦ πυρὸς καὶ χλιάνας, ἀπόθου ἐν ἀγγείῳ καὶ ἐπὶ τῆς χρείας δίδου.

μδʹ Ἄλειμμα, ἤτοι ἔμπλαστρον· ἐπιτιθέμενον κατὰ τοῦ ἥπατος πρὸς συνεχεῖς πυρετοὺς 44
καὶ καυσώδεις· πρὸς φρενιτικοὺς κατὰ τοῦ μετώπου καὶ κεφαλαλγικούς, τοὺς ἀπὸ θερμότητος, γινομένους· Δέχεται:

Χυλὸν λινοσπόρου· ζωμὸν ψυλλίου· ζωμὸν ἀνδράχνης· ἰέλαιος· νενουφαρέλαιον· καμφοράν· σάνδαλον κόκκινον· ῥόδα, τετριμμένα· μανδραγόρας ἔλαιον ἢ τὴν μανδραγόραν ἢ τὰ φύλλα ταύτης ἢ τοῦ καρποῦ· στρύχνου ζωμόν· ὑοσκυάμου σπέρμα· ἄλφιτα νεαρά· παπάβαρην, λευκὴν καὶ μαύρην· κηρίον λευκῶν· ψιμύθιν· σπόδιον· τρίψας ταῦτα πάντα καὶ μαλάξας ὁμοῦ· ἀνάλυσον τὸ κηρίον μετὰ τῶν ἐλαιῶν καὶ τὸν χυλὸν καὶ ἐπιβαλὼν τὰ ξηρά· καλῶς τετριμμένα καὶ σεσεισμένα καὶ ἀναμαλάξας πάντα, ἔμπλασσε

**11** ὡς χνοῶδει L | ὑψηλὰ – κίτρου om. X | μετὰ X | καὶ[2] – 12 δίδου om. X **12** ἐπὶ δὲ τῆς χρείας L | post δίδου add. ἔστι δὲ τὸ τοιοῦτον πάνυ ὠφέλιμον L **43, 1** μγʹ post praeceptum μεʹ 45, 1 ponit P | ἤτοι om. P L τοῦ Ἀγρίππα X | post ὀνομαζομένη add. παρ'Ἰτάλων P | ὀνομαζομένη ὠφελεῖ om. X | ὠφελοῦν L | πρὸς om. P ¦ εἰς X | ὑδρωπικοὺς P | σπληνικοὺς P **2** τοὺς τὴν κοιλίαν ἀλγοῦντας P | ἔχει δὲ καὶ ῥυπτικὴν τινὰ δύναμιν ἐπαλειφόμενη ἡ κοιλία· ἔχει: P | γὰρ X | γὰρ τῇ L | κοιλίᾳ L | ῥύπτει X | ποιεῖ τὴν τῶν σπλάγχνων καὶ τῆς κοιλίας πᾶσαν κακίαν καὶ σῆψιν ὑγρότητος ἀπορρίπτεσθαι L | τούτοις γίνεται om. X | ἡ σύνθεσις X **3** post Βρυωνίας add. ῥίζης X | ῥίζης X **4** ῥίζης X | ῥίζης πτέρεως P | post ἔμπουλι add. ἤτοι lac. 12 litt P | post μαρίνου add. ἤτοι lac. 12 litt P | πάντα – 5 ὁμοῦ[1]] ὁμοῦ πᾶντα· P **5** ἔμβαλε P | ἐλαίου P X | πάλιν om. P X μαλάξας X | ὁμοῦ καὶ om. X | ὁμοῦ[2] – ἀπόθου] μετ'αὐτοῦ ἐλαίου, ἔασον P **6** ἅπαντα – βοτάνας om. P ἅπαντα – 7 καὶ[1]] εἶτα X | πάντα – ἐπίθες om. P | ἐν[2] – 7 ἑστίᾳ] ἐπὶ τοῦ πυρὸς L **7** καὶ[2] – σείρωσον] εἶθ' οὗ σακέλισον P | μαλάξας καλῶς om. X | καὶ[3] – 8 καὶ[1]] εἰς δὲ τὸ σακελισθὲν πρόσθες X | ἀναλαβὼν P ¦ πάλι λάβε L | ἔλαιον P | ἀπόρριψον L | post ξηρά add. καὶ P **8** ἔμβαλε P | τὸ – καὶ[1]] ἐν αὐτῷ P | post καὶ[1] add. σὺν αὐτῷ L | κηροῦ X | λίτρα ἥμισυ P ¦ om. X | βʹ P | καὶ[2] – 10 δίδου om. X | δεῦσον ἕως οὗ ὁ κηρὸς P ἕως οὗ διαλυθεῖ L | ἐν[2] – 9 χλιάνας] ἔξελε καὶ P **10** χρῶ· add. ἐν τοῖς προειρημένοις P ¦ add. ἀλείφεσθαι L **44, 1** μδʹ deest P | ἐπιτιθέμενον – ἥπατος om. X **2** post καυσώδεις add. τιθεμένη ἐπὶ τοῦ ἥπατος X κεφαλαλγοῦντας L **3** θέρμης L | γινομένους om. X L **4** Χυλοῦ X | ζωμὸν[1]] καὶ X | ψυλλαίου S | ζωμὸν[2]] καὶ X | ἰελαίου X ¦ ἰέλαιον L | νουφαρελαίου X **5** καμφοράς X | μανδραγόρου X | ἐλαίου X | ἢ – 6 μανδραγόραν om. X | τὴν om. L **6** τῶν φύλλων X | ταύτης om. X | τὸν καρπὸν L | ζωμοῦ X | σπόρου X **7** ἀλφίτων X | νεαρά om. X | παπάβερ X | μέλαιναν L | κηροῦ λευκοῦ X ¦ om. L | ψιμύθου X ¦ ψιμυθίου L σποδίου X | τρίψας – 8 ἀνάλυσον] τῆξον L **8** post μαλάξας add. καλῶς L | τὸν κηρὸν X | τῶν χυλῶν X ¦ τοῦ χυλοῦ L | καὶ[3] – 9 ἐπιβαλὼν] εἶτα πρόσθες L **9** om. X ¦ ὄντα L | καὶ σεσεισμένα om. X | μαλάξας X ἄπλωσον L

ἐν ὀθονίῳ καὶ ἐπίθες κατὰ τοῦ ἥπατος· ἔτι γὰρ δόκιμον, ἐπὶ τοῖς προειρημένοις πάθεσιν· ὀνίνησι δὲ καὶ πρὸς ἑκτικοὺς πυρετοὺς καὶ καυσώδεις καὶ πρὸς ἀγρυπνοῦντας.

45 με΄ Ἄλειμμα, ἤτοι σκευασία, ποπολαίου· ὑπνωτική καὶ πρὸς πυρεκτικοὺς καὶ κεφαλαλγικούς, τοὺς ἀπὸ θερμότητος γιγνομένους· χρῖε κροτάφους· πυρεττοῦντα δέ, χρῖε ποδῶν πέλματα καὶ χειρῶν σὺν τούτοις καὶ σφιγμούς· δεύοντας δέ, μετὰ ῥοδελαίου ἢ ἐλαίου· ἔχει:

Δένδρου τοὺς ὀφθαλμούς· τοὺς εἰς τὴν ἄνοιξιν τοῦ δένδρου ἀποφανθέντας· τοῦ ἐπονομαζομένου πούπουλι· λίτρα α΄ καὶ ἥμισυ· φύλλου· κωδείας μελαίνης· φύλλα μανδραγόρας· ἐρυθροδάνου φύλλα· ὑοσκυάμου φύλλα· στρύχνου φύλλα· βερνικουλάριν, ἤτοι [...10...], μαρουλίου φύλλα· σεμπερβίβε, ἤτοι τὸ μικρὸν ἀείζωον· ἴων φύλλα· κυμβάλου φύλλα, τοῦ ἐπονομαζομένου κορτάλου· τὸ καὶ φυόμενον, ἐν κεραμίοις καὶ τοίχοις, ἀνὰ οὐγγ ἥμισυ· στέατος ὑοῦ νεαροῦ ἀναλάτου, λίτρα γ΄· σκευάζεται δέ, οὕτως· λάβε τὰς βοτάνας καὶ ὀλμοκοπήσας μετὰ τοῦ στέατος καὶ ποίησον ὡς ζύμην πάντα καὶ ἔασον οὕτως, ἕως ἡμέρας ὀκτώ· εἶθ᾽ οὕτως κόπτε λεπτὰ λίαν μετὰ μαχαιρίου· ἐπίβαλε ἐν λέβητι καὶ βράσον λεπτῷ πυρὶ· μετ᾽ οἴνου καλοῦ, λίτρα α΄· ἕως οὗ ἀφανισθῇ, ἥλως ὁ οἶνος· εἶτα σακέλισον, δι᾽ ὀθονίου λεπτοῦ καὶ ἀπόθου ἐν ἀγγείῳ, δίδου.

46 μς΄ Ἄλειμμα, τὸ μέγα Μαρκιάτον· ὠφελεῖ, εἰς ψύχρα κεφαλῆς· στήθους καὶ στομάχου· ὁμοίως, σπληνικούς· ἡπατικούς· ὡσαύτως καὶ εἰς ἑτέρα ἀλγήματα ἀπὸ ψυχρότητος

---

**10** ὀθόνιον X | θὲς ἐπὶ L | ἔστι L | ἔτι – 11 δὲ] τοῦτο ποιεῖ X | δὲ πάνυ L **11** ὠφελεῖ L | καυσώδεις L | post ἀγρυπνοῦντας add. ἐστὶ ὠφέλιμον. L **45, 1** Πρόπολη P | ἤτοι om. P | post σκευασία add. ἐνὲς καλεῖται παρ᾽ Ἰτταλίων P | post ποπολαίου add. σκευασία, ἔστι δὲ P ¦ in margine πουπουλέου L | ὑπνωτικὸν P | καὶ[1]] ὠφελεῖ φρενιτικοὺς P ¦ om. X | πρὸς om. P | καὶ[2] om. P **2** γιγνομένους om. P X ¦ γινομένοις L | post χρῖε add. μέτωπον καὶ P ¦ ὠφελεῖ χριόμενη ἐπὶ τῶν L | κροτάφων add. καὶ τοῖς L | πυρέττοντας X ¦ πυρέσσοντας L | πυρεττοῦντα – 4 ἐλαίου om. P | ὁμοίως χριώμενος L **3** post χρῖε add. τῶν L | post ποδῶν add. τὰ L post καὶ[1] add. τῶν L | χεῖρας X | σὺν τούτοις om. X L | δεύων X **4** ἢ ἐλαίου om. X L | ἡ σύνθεσις X **5** τοὺς[1] – 6 πούπουλι] τοῦ ἐπονομαζομένου πόπουλι· τὴν ἄνοιξην, ὁπόταν ἄρξηται βλαστάνειν P | κατὰ L | τοῦ δένδρου om. X | ὑποφαινομένοις L | τοῦ[2] – 6 πούπουλι] τοῦ πόπολου post δένδρου X **7** ἐρυθροδάνου φύλλα transp. X | ὑοσκυάμου φύλλα transp. X | στρύχνου φύλλα transp. X **8** βερμικουλαρίου L | θριδάκου P μαρουλίου φύλλα transp. X | σεμπερβίβε ἤτοι om. P | σεμπερβίβε – τὸ om. X | ἀειζώου τοῦ μικροῦ P μικροῦ ἀειζώου X | ἴων – 9 φύλλα[1] transp. X **9** post φύλλα[2] add. ἤτοι τοῦ ὠτίου P ¦ om. X | καλουμένου X τοῦ X | φυομένου X | κεράμοις X L **10** ὑὸς X | νεαροῦ ἀναλάτου om. X | post ἀναλάτου add. ὅσον P | δέ om. P **11** om. X ¦ ἐμβαλὼν L | καὶ[1] om. X | καὶ[1] – στέατος] καὶ τὸ στέαρ ὁμοῦ ἓν ὅλμῳ, κοπάνισον L στεάτου P | καὶ[2] om. X **12** πάντα om. P X | οὕτως[1] om. P ¦ add. κεῖσθαι L | οὕτως ἕως om. X | η΄ P X εἶτα P | εἶτα κόψας αὐτὸ L | λειότατα P | τμήματα L | μαχαίρας P **13** ἔμβαλε P ¦ βάλε L | ἐπίβαλε ἐν λέβητι om. X | λεύιτι S | καὶ – α΄] εἶτα ἔμβαλε ἐν ταῦτα οἴνου καλοῦ καὶ βράσον ἔστω δὲ ὁ οἶνος, λίτρα α΄ καὶ ἔασον βρασθῆναι P | λεπτῷ πυρὶ om. X | καλοῦ om. X **14** ἥλως om. P X ¦ ὅλος L | δι᾽ – δίδου om. X | ὀθονίας λεπτῆς P ¦ ὀθονίῳ λεπτῷ L | ἐπὶ δὲ τῆς χρείας, χρῶ ἐν ἅπασι τοῖς προειρημένοις P ¦ add. τῆς ἐν χρεία L **46, 1** ὠφελεῖ om. X | καὶ om. X **2** ὁμοίως εἰς X | ὡσαύτως om. L | ὡσαύτως – ἀλγήματα] καὶ εἰς τὰ X ὡσαύτως – 3 ἐπὶ] καὶ πρὸς πᾶσαν σκληρίαν σπλάγχνων καὶ πρὸς P

γινόμενα καὶ πρὸς σκιρρούμενον σπλῆνα· κυρίως δὲ ἐστὶν δόκιμον· ἐπὶ ὑδρωπικοὺς καὶ σπληνικοῖς, τὸ τοιοῦτον· ἔχει:

Κηροῦ λευκοῦ λίτρα α΄· ἐλαίου κοινοῦ, λίτρα δ΄· δενδρολιβάνου· δάφνης φύλλα, ἀνὰ οὐγγ δ΄· μυρίγγου, οὐγγ γ΄· πηγάνου, οὐγγ δ΄· ἔμπουλι· σαβίνου· βαλσαμίτου· ὠκίμου· ἐλελισφάκου· πολίου· καλαμίνθην· ἀρτεμισίαν· ἑλενίου· βεττόνικα· μπράτζε οὐρσίνε· σπάργουλε· ἀνεμόχορτα· μπεπινέλε· ἀγριμόνι· ἀψίνθιον· βοτάνι τοῦ Ἁγίου Πέτρου· τὸ λεγόμενον Ἰταλίᾳ γλώσσᾳ, ἔρμπε μπαρλίτζε· κόστου βοτάνης· φύλλα τῆς χαμαιάκτης· ἀειζώου τοῦ μικροῦ· μυριοφύλλου βοτάνης· ἀειζώου τοῦ μεγάλου· χαμαίδρυος· πεντανεύρου· κενταυρίου· φράουλε· πεντάφυλλον, ἀνὰ οὐγγ β΄ καὶ τέταρτον· μολόχου ἀγρίου ῥίζαν· κύμινον· σμύρνης, ἀνὰ οὐγγ α΄ καὶ ἥμισυ· τῆλιν, οὐγγ ἥμισυ, ἐξάγ α΄ καὶ ἥμισυ· βούτυρον, οὐγγ ἥμισυ· δράμ β΄· κνίδης σπέρμα· ἴων φύλλα· κωδείαν λευκήν· ἡδύοσμον· ἐρυθροδάνου· ἡδυόσμου ἀγρίου· λαπάθου· πολυτρίχιν· καρδιοβότανον· ματριτζέρβια· μοσχατοβότανον· χαμαιμήλου ἄνθος· σκολοπένδριον· κρέσπουλι· καμφορὰ βοτάνι· στύρακος· μυελοῦ ἐλάφου τοῦ ὀστοῦ, ἀνὰ ἐξάγ α΄ καὶ ἥμισυ· στέατος ἄρκου· ὄρνιθος καὶ χηνός· μαστίχην, ἀνὰ οὐγγ ἥμισυ· λιβάνου, οὐγγ τέταρτον· ἐλαίου ναρδίνου, δράμ α΄ καὶ τέταρτον· τὰς βοτάνας κόψας, ἀπόθου σὺν οἴνῳ καλῷ, ἐπὶ ἡμέραν μίαν· τῇ δὲ δευτέρᾳ ἡμέρᾳ ἄρας ἀπὸ τοῦ οἴνου τὰς βοτάνας κόψον πάλιν καὶ ἐπίβαλε πάλιν ἐν ἑτέρῳ οἴνῳ καλῷ τὰς βοτάνας καὶ πάλιν ἔασον ἡμέρας ἑπτά· ἐπὶ δὲ τῇ ὀγδόῃ ἡμέρᾳ· λαβὼν τὰς βοτάνας σὺν τῷ οἴνῳ· βράσον ἕως ἡμισεύσεως τοῦ οἴνου· εἶτα, ἐπίθες τὸ ἔλαιον καὶ πάλιν βράσον, ἕως οὗ ἀφανισθῇ, ὅλος ὁ οἶνος· εἶτα, ἔξελε ἀπὸ τοῦ πυρὸς καὶ σειρώσας, λάβε τὸ ἔλαιον καὶ ἔμβαλε πάλιν, ἐν τῷ λέβητι καὶ Γαληνῷ πυρὶ θερμάνας, ἔμβαλε τὸν στύρακα· εἶτα, τὸν βούτυρον καὶ τὰ οὐξύγγια· εἶθ᾽ οὕτως, τὸ νάρδινον ἔλαιον· ἔπειτα, τὴν μαστίχην καὶ τὸ λιβάνιν· ὕστερον δὲ πάντων, τὸ κηρίον καὶ ἀναλύσας ἅπαντα λεπτῷ πυρί, ἄρας ἀπὸ τοῦ πυρός, ἀπόθου ἐν ἀγγείῳ· ἐπὶ δὲ τῆς χρείας, δίδου· χρῶ.

**4** post καὶ[1] add. ὑπὸ τοῦ νοσήματος L | παρεσχέθη – 14 χρησμόν] τῆς Ἀρτέμιδος, τὸ κολοούριον τοῦτο εἰ τὴν τῶν ὀφθαλμῶν ἴασιν, ὑγιεινὰς οὖν καὶ αὐτὸς μετὰ τὴν ὑγείαν πολλοὺς διὰ τούτου ἐθεράπευσε καὶ πλούσιος ἀπὸ τούτου ἐγένετο, ἔχων δὲ θυγατέρας τρεῖς ἐν τῷ μέλλειν μετὰ ἀλλάξαι τὸν βίον ταῖς μὲν δυσὶ ταῖς μειζόσι, τὸν βίον πάντα ἐν διαθηκως κατέλιπε τῇ δὲ τρίτῃ καὶ μικροτέρα, τούτου τοῦ κολλουρίου τὴν κατασκευὴν ἐγγράφως εἰς κληρονομίαν ὡς ἀπορωτέρᾳ ἐχαρίσατο· χρωμένη δὲ αὐτὴ τούτῳ καὶ πολλῶν ἀσθενούντων τοὺς ὀφθαλμοὺς ἰωμένη δι᾽ αὐτοῦ καὶ πλουτήσασα καὶ τῇ μὲν ἔδωκεν ἀποθνήσκουσα τὴν κατασκευήν τοῦτου πολλοῖς, διαθήκην τοῦ π<ατ>ρὸς αὐτῆς· Χρυσοχόου ὀνομάσασα· ὀνομαζετο δὲ καὶ ἡ τοῦ Χρυσοχόου θυγάτηρ αὕτη· Ἄρτεμις· ὠφελεῖ δὲ τὸ τοιοῦτον φάρμακον, εἰς πᾶσαν ἀσθένειαν ὀφθαλμῶν ἀπηγορευμένην· ἤγουν πρὸς ἐπιφορὰς παντοίων θαυμάτων· τριχιάσεις· μυοκέφαλα· σμήχει οὐλὰς χρονίους· αἴρει ὑποχύματα καὶ διαύγειαν καθαρὰςν ἀποδίδωσι ταῖς κόραις τῶν ὀφθαλμῶν ὥστε θαυμάσαι· ἀφαιρεῖ ἀχλὺν καὶ νεφέλας· σμήχει φλυκταίνας· ἐπικαύματα· λευκώματα· κανθούς διαβεβρωμένους καὶ οὐλὰς καὶ πάντα δὲ τὰ περὶ τοὺς ὀφθαλμοὺς συμβαίνοντα πάθη, θαυμασίως θεραπεύει· L | δὲ om. X **5** αὐτὸς add. δι᾽ αὐτοῦ P **6** γ′ τρεῖς P X **7** om. X | τῆς[2] – 8 ἐπονομαζομένης] τῇ ἐργαζομένῃ X **8** ἐπονομαζομένης om. L | Ἀρτέμις κατονομαζομένης P | Ἀρτέμιδι X | ἔασε om. X | τὴν – κολλουρίου transp. P | ἕν κολλούριον X | κολλούριον P **9** ποιεῖ P post δὲ add. αὕτη P | καὶ om. X **10** σμήχει δὲ om. X | καὶ[3] om. X **11** ἀποδίδωσι X | εἰς om. X | post ὥστε add. δὴ X | δὲ om. X **12** νεφέλας X | καὶ[4] om. X | καὶ[5] om. X **13** ὀφθαλμῶν P | γίνονται om. P ¦ γίγνεται X **14** ὑπὸ τῶν om. X | post τοῖς add. τῆς X | χρησμοῖς X | ἡ σύνθεσις X **15** χαλκάνθου P **16** ζζ′′ P | καστόριν S **17** ξυστοῦ X L **19** χαλκοῦ κεκαυμένου P | ψιμυθίου L **20** μαράθρου χυλοῦ transp. L | αἰγείας L | κηρᾶς sic! P **21** τρίψας – μετ᾽ om. P | ταῦτα – ζύμωσον] δεῦσον X | μεθ᾽ X | παλαιοῦ – 22 πλάττε] τὸ ἀρκοῦν καὶ ποίει X | παλαιοῦ – 22 χρείας] τὸ ἀρκοῦν P **22** καὶ – χρείας om. X

ξα΄ Κολλούριον, ὁ χολᾶς, ὀνομαζόμενον· ὠφελεῖ προκαταληπτικόν, πάσης ὀφθαλμίας 61 καὶ ἀποκρουστικόν, παντὸς ῥεύματος· ἔχει:

Στίμμεως· στύρακος κεκαυμένου· ὀνύχων μεγάλων κεκομμένων· κυάμων κεκομμένων, ἀνὰ οὐγγ ἥμισυ· ταῦτα πάντα τρίψας καλῶς, ζύμωσον μετὰ ᾠῶν τὰ λευκά, ὅσον ἀρκῇ καὶ σκευάσας καλῶς, πλάσσε κολλούρια καὶ ἐπὶ τῆς χρείας δίδου.

ξβ΄ Κολλούριον θαυμαστόν, τὸ διὰ τοῦ χυλοῦ τοῦ πολυγόνου· ποιοῦν πρὸς τὰ οβ΄ 62 πάθη τοῦ ὀφθαλμοῦ καὶ ἐν ἀρχῇ ὀφθαλμίας, μετὰ ᾠοῦ· ἔχει:

Χυλοῦ πολυγόνου· λυκίου Ἰνδικοῦ, ἀνὰ ὁλκὰς γ΄· ἀλόης ξανθῆς, ὁλκὰς β΄ καὶ ἥμισυ· ζιντζιβέρεως, ὁλκὰς β΄· ὀπίου, ὁλκὰς γ΄· κρόκου· λιβάνου, ἀνὰ ὁλκὰς β΄· ἀκακίας μέλανος, ὁλκὰς ς΄· τρίψας ταῦτα καλῶς, ζύμωσον μεθ' ὕδατος ὀμβρίου, ὁλκὰς β΄ καὶ ἥμισυ ἢ τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, πλάττε κολλούρια καὶ δίδου.

ξγ΄ Κολλούριον, τὸ διὰ τοῦ χυλοῦ τοῦ κοριάννου· ὠφελεῖ, πρὸς ὀξυπάθειας· διὰ πείρας, 63 ἐν ταῖς ἀρχαῖς, ἐγχυματιζόμενον· ἔχει:

Πομφόλυγος πεπλυμένου· κρόκου, ἀνὰ ὁλκὰς β΄, γράμματα η΄· ψιμύθιν, οὐγγ δ΄· ἀμύλου, οὐγγ α΄· ὀπίου, οὐγγ α΄· γράμματα β΄· τραγακάνθης· κόμμεως, ἀνὰ οὐγγ α΄· ταῦτα τρίψας ὡς χνοῶδες, ζύμωσον μετὰ χυλοῦ κολιάνδρου τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, πλάττε κολλούρια καὶ ἀναλάμβανε.

ξδ΄ Κολλούριον, ὁ ἑκατόμβης λεγόμενος, ὠφελεῖ, πρὸς ἀρχομένας ὀφθαλμίας καὶ 64 ἑλκώσεις πάσας καὶ ῥεύματα πρόσφατα καὶ παλαιά· ὁμοίως, πρὸς φλεγμονάς, σταφυλώματα· ῥήξεις· φλυκταίνας· τυλώματα· ἀνθρακώσεις καὶ νομάς, ὑποπύους· νύγματα· τραχώματα· μυοκέφαλα καὶ ἀπελπισμένας διαθέσεις· ἔχει:

Καδμείας κεκαυμένης καὶ πεπλυμένης· χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου, ἀνὰ οὐγγ α΄· στίμμεως κεκαυμένης καὶ πεπλυμένης· κόμμεως· ἀκακίας, ἀνὰ ὁλκὰς δ΄· ἀλόης ξανθῆς· ζιντζίβερι· καστόριν· κρόκου· κηκῖδος· ὀμφακίτιδος· ἐβένου ῥίζης· χαλκίτεως ὠμῆς· ναρδοστάχυος· λυκίου Ἰνδικοῦ· ὀπίου θηβαϊκοῦ· ἰοῦ· ψιμύθιν, ἀνὰ ὁλκήν α΄·

---

**61, 1** ξα΄] μζ΄ X | ὀχολᾶς S | ὀνομαζόμενον ὠφελεῖ om. P | ὀνομαζόμενον – προκαταληπτικόν om. X ὠφελεῖ om. L **2** ἡ σύνθεσις X **3** μεγάλων κεκομμένων transp. P | κυάμων – 4 κεκομμένων om. X **4** τετριμμένων καλῶς L | ταῦτα πάντα om. X | ταῦτα – μετὰ om. P | πάντα om. L | καλῶς ζύμωσον] δεῦσον X | ᾠοῦ τῷ λευκῷ X | λευκοῦ τῶν ᾠῶν L **5** ὅσον – πλάσσε] καὶ ποίει X ¦ καὶ πλάσσον L | ὅσον – δίδου] χρῶ P | καὶ[2] – δίδου om. X | ἐπὶ – χρείας om. L **62, 1** ξβ΄] μη΄ X | θαυμαστόν post πολυγόνου X L | τοῦ[2] om. X | ὠφελοῦν L | πάντα τὰ L **2** πάθη – ὀφθαλμοῦ transp. L | τῶν ὀφθαλμῶν L | κἄν P | ἡ σύνθεσις X **3** ἰνδικῆς P ¦ om. X **4** ζζ΄΄ X | ὁλκὰς[3]] οὐγγ P **5** μέλανος om. X ¦ μελαίνης L | τρίψας – μεθ' om. P | δεῦσον X | ὀμβρίμου L | ὁλκὰς[2] – 6 δίδου om. X **6** ἢ – δίδου om. P | τοῦ ἀρκοῦντος L | πλάσσον L **63, 1** ξγ΄] μθ΄ X | τοῦ[2] om. X | ὠφελεῖ om. P X ¦ ὠφελοῦν L | διὰ πείρας om. L **2** ταῖς ἀρχαῖς] ἀρχῇ X | ἐγχυμάτιζε X | ἡ σύνθεσις X **3** πεπλυμένης L | post γράμματα add. ς΄ ἢ P | ψιμυθίου L **4** γράμματα β΄ om. P **5** ταῦτα om. X ταῦτα – μετὰ om. P | καὶ ποιήσας χνοώδη L | δεῦσον X | τοῦ ἀρκοῦντος L | τὸ – 6 καὶ om. P | σκευάσας – 6 πλάττε] ποίει X **6** πλάσσον L | καὶ ἀναλάμβανε om. X | ἀναλάμβανε] δίδου ἐπὶ τῆς χρείας L **64, 1** ξδ΄] ν΄ X | ἡ P | τὸ λεγόμενον L | λεγόμενος ὠφελεῖ] ποιεῖ P | ὠφελοῦν L **2** ὁμοίως om. X **3** καὶ om. X ὑπωπίων X L **4** post καὶ add. πρὸς πάσας L | ἡ σύνθεσις X **5** χαλκοῦ – 6 πεπλυμένης om. L **6** κεκαυμένου X πεπλυμένου X **7** ξανθῆς om. P X | ζζ΄΄ X ¦ ζιντζιβέρεως L | καστορίου L | ἐβένου ῥίζης transp. L **8** θηβαϊκοῦ om. X | ψιμυθίου L

ῥόδων χλωρῶν, ὁλκὰς ζʹ· τρίψας ταῦτα ὡς χνοῶδες, ζύμωσον μεθ’ ὕδατος ὀμβρίου τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, πλάττε κολλούρια καὶ δίδου· χρῶ.

65 ξεʹ Κολλούριον τὸ τοῦ Κλέωνος λεγόμενον· ᾧ καὶ ἡμεῖς χρώμενοι, εὐαρεστοῦμεν· πάνυ γὰρ βαθύτατα ἕλκη, πληροῖ τάχιστα καὶ καταλύει συντόμως· λεπταῖς καὶ ἀδήλοις οὐλαῖς καὶ ἀφλέγμαντα τὰ ἕλκη τηρεῖ· ἔστι δὲ θαυμαστόν· ἔχει:

Σποδίου· μολύβδου κεκαυμένου καὶ πεπλυμένου, ἀνὰ ὁλκὰς βʹ· λεπίδος στομώματος πεπλυμένου· κρόκου, ἀνὰ ὁλκὰς ἥμισυ· κόμμεως, ὁλκὴν αʹ· τρίψας ταῦτα καλῶς, ζύμωσον μεθ’ ὕδατος ὀμβρίου τὸ ἀρκοῦν καὶ πλάττε κολλούρια· ἐπὶ δὲ τῆς χρείας, δίδου ἐξ αὐτοῦ· μετὰ γυναικείου γάλακτος ἢ ὠοῦ τὸ λευκόν· ὁ μόλυβδος δέ, μετὰ τοῦ θείου ἀπύρου καιέτω ἐν χύτρᾳ καινῇ· χρῶ.

66 ξςʹ Κολλούριον, τὸ λεγόμενον, τοῦ Κλέωνος· ἄλλον· ἔχει:

Πομφόλυγος· μολύβδου κεκαυμένου καὶ πεπλυμένου, ἀνὰ οὐγγ βʹ· λεπίδος στομώματος πεπλυμένου· κρόκου, ἀνὰ οὐγγ ἥμισυ· κόμμεως, οὐγγ αʹ· τρίψας ταῦτα καλῶς· ζύμωσον μεθ’ ὕδατος ὀμβρίου τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, πλάττε κολλούρια καὶ ἐπὶ τῆς χρείας δίδου.

67 ξζʹ Κολλούριον τὸ δι’ οἴνου Φαλερίνου· μονήμερον, ὠφελεῖ, πρὸς ἕλκη καὶ τραύματα καὶ περιωδυνίας καὶ πρὸς διαθέσεις χρονίας· ἔχει:

Ζιντζιβέρεως· χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου, ἀνὰ ὁλκὰς εʹ· καδμείας κεκαυμένης καὶ πεπλυμένης, ὁλκὰς βʹ καὶ ἥμισυ· κρόκου· λίθου αἱματίτου· λίθου σχιστοῦ· ὀπίου, ἀνὰ ὁλκὰς εʹ· ναρδοστάχυος, ὁλκῆς ἥμισυ· πεπέρεως λευκοῦ, κοκκία ηʹ καὶ ἥμισυ· κόμμεως, ὁλκὰς ιβʹ καὶ ἥμισυ· τρίψας ταῦτα καλῶς, ζύμωσον, πλάττε κολλούρια καὶ ἐπὶ τῆς χρείας δίδου.

---

**9** τρίψας – μεθ’ om. P | ταῦτα – ζύμωσον] δεῦσον X | καὶ ποιήσας χνοώδη L | ὀμβρίμου L | τὸ – 10 ἀρκοῦν om. L | τὸ – 10 χρῶ om. X **10** καὶ[1] – χρῶ om. P | ἐπὶ τῆς χρείας L **65, 1** ξεʹ] ναʹ X | ἐπονομαζόμενον X ἐγὼ L | χρησάμενος add. πολλάκις L | εὐδοκίμως L **2** καταλύει X L | λεπτὰς X | λεπτὰς καὶ ἀδήλους οὐλὰς L | οὐλὰς X **3** ἔστι – θαυμαστόν om. P X L | ἡ σύνθεσις X **5** τρίψας – 6 μεθ’ om. P | ταῦτα – 6 ζύμωσον] δεῦσον X **6** ὀμβρίμου τοῦ ἀρκοῦντος L | τὸ – κολλούρια om. X | τὸ – 7 μετὰ[1]] ἡ χρῆσις διὰ P | post καὶ add. σκευάσας καλῶς L | ἐπὶ – 7 λευκόν] χρῶ δὲ μετὰ γάλακτος γυναικείου ἢ ὠοῦ τοῦ λευκοῦ post ἕλκη 3 X **7** ἐξ αὐτοῦ] τοῖς πάσχουσιν ἐξ αὐτῶν τὸ ἀρκοῦν τῇ χρείᾳ | γυναικείου γάλακτος transp. P L | λευκοῦ ὠοῦ L τοῦ λευκοῦ P | τὸν μόλυβδον L | ὁ – 8 καινῇ] καιέτω μόλυβδον μετὰ θείου ἀπείρου, ἐν χύτρᾳ καινῇ post βʹ 4 X | τοῦ om. L **8** καίεται P ¦ καῖε L | χρῶ om. X **66, 1** ξςʹ] νβʹ X | τὸ λεγόμενον] ἄλλον X | λεγόμενον om. P | ἄλλον om. P ¦ ἐπονομζόμενον X ¦ post Κολλούριον L | ἡ σύνθεσις X **3** πεπλυμένης L | τρίψας – 4 μεθ’ om. P | ταῦτα – 4 ζύμωσον] δεῦσον X **4** ὀμβρίμου τοῦ ἀρκοῦντος L | τὸ – 5 δίδου om. P X **5** ἐπὶ – χρείας post δίδου L **67, 1** ξζʹ sine numero P ¦ νγʹ X | Φαλερίνου om. P | μονοήμερον X | ποιοῦν P ¦ ὠφελοῦν L **2** πρὸς om. L | χρονίους L | ἡ σύνθεσις X **4** βʹ] ιβʹ P **6** τρίψας – 7 δίδου] οἴνου Φαλερίνου τὸ ἀρκοῦν P ταῦτα – 7 δίδου] δεῦσον, μεθ’ ὕδατος ὀμβρίου X | post ζύμωσον add. μετ’ οἴνου Φαλερίνου τοῦ ἀρκοῦντος καὶ σκευάσας καλῶς L **7** ἐπὶ – χρείας om. L

ξη΄ Κολλούριον τὸ διὰ χολῶν, ὀξυδερκές· ὠφελεῖ πρὸς οὐλὰς καὶ λευκώματα· πρὸς πτερύγια καὶ ὑποχύσεις καὶ πρὸς ἀμβλυωπίαν, δόκιμον· ἔχει: 68

Χολὴν ἱέρακος, στρουθοπιαστοῦ· χολὴν πέρδικος· χολὴν ἀλεκτρυόνος λευκοῦ· χολὴν χλωρίωνος· χολὴν ἰχθύος τοῦ σκάρου· χολῆς ὑαίνης ἢ λύκου θηλείας· χολὴν τράγου· χολὴν γυπός· χυλὸν μαράθρου, ἀνὰ ὁλκὰς β΄· ὀποῦ βαλσάμου, ὁλκὰς δ΄· μέλιτος Ἀττικοῦ, ἀκάπνου τὸ ἀρκοῦν καὶ σκευάσας ταῦτα καλῶς, δίδου.

ξθ΄ Κολλούριον, ὁ Διόνυσος, ἤτοι φῶς· τὸ καὶ ἀκτὶς καλούμενον· ἀποκρουστικὸν μονήμερον· ὠφελεῖ πρὸς μίλφους καὶ χημώσεις· πρὸς ῥεύματα· μυοκεφάλους· σταφυλώματα, πρὸς ἀμβλυωπίας καὶ πτερύγια· πρὸς λευκώματα καὶ οὐλάς· πρὸς συκώσεις καὶ τραχώματα· ἀποσμηκτικόν, πρὸς πᾶσαν παλαιὰν καὶ κεχρονισμένην διάθεσιν· πάνυ τῶν ἐπαινουμένων καὶ ἐνδόξων· ἐστὶ τὸ κολλούριον: 69

Χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου· καδμείας κεκαυμένης καὶ πεπλυμένης, ἀνὰ οὐγγ γ΄· ναρδοστάχυος· λίθου αἱματίτου· κρόκου· ἀλόης ξανθῆς, ἀνὰ ὁλκὰς γ΄· λυκίου Ἰνδικοῦ, ὁλκὴν α΄ καὶ ἥμισυ· ζιντίβεριν· κασίας· ὀπίου, ἀνὰ ὁλκὰς ϛ΄· πεπέρεως λευκοῦ, κόκκους ιϛ΄ καὶ ἥμισυ· ἀκακίας, οὐγγ β΄· κόμμεως, οὐγγ β΄, ἐξαγ α΄ καὶ ἥμισυ· τρίψας ταῦτα καλῶς, ζύμωσον μετ᾽ οἴνου ἀμιναίου τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, πλάττε κολλούρια καὶ δίδου.

ο΄ Κολλούριον, τὸ φῶς· Ὠριγένους λεγόμενον· ὀξυδερκέστατον, τὸ χρυσοῦν· ᾧ ἔλεγε τίς, ἐχρᾶτο ἐπὶ πάντα τὸν βίον ἑαυτοῦ· ὅταν ἢ ἀμβλυωπεῖ καὶ ἐγχριόμενος ἐξ αὐτῆς, παραχρῆμα· ἀνέβλεπεν, ὥστε ἔχειν αὐτό, ὀξυδερκὲς θαυμάσιον: 70

Καδμείας· ὁλκὰς η΄· πεπέρεως κοινοῦ, ὁλκὰς τέσσαρες· κόμμεως, ὁλκὰς β΄· ταῦτα τρίψας ζύμωσον μεθ᾽ ὕδατος ὀμβρίου τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, πλάττε κολλούρια καὶ δίδου ἐπὶ τῆς χρείας· τοῦτο, τοὺς ὑποκειμένους ὀφθαλμούς, διαυγεστέρους ποιεῖ· ὁρᾷν παραχρῆμα· δάκνει δὲ λίαν· ἔστι γὰρ δόκιμον.

---

**68, 1** ξη΄] νδ΄ X | ἀγαθοποιῶν P ¦ om. X ¦ ὠφελοῦν L **2** δόκιμον om. X | ἡ σύνθεσις X **3** χολῆς L | χολὴν[1]] χολῆς L | χολὴν[2]] χολῆς L | χολὴν[3]] χολῆς L **4** χολὴν[1]] χολῆς L | τοῦ om. P X | λυκαίνης L | χολὴν[2]] χολῆς L **5** χολῆς L | γύπου P | χυλοῦ L | ὀποβαλσάμου X **6** Ἀττικοῦ om. P X L | καὶ – δίδου om. P ¦ ποίει κολλούριον X | post δίδου add. ἐπὶ τῆς χρείας L **69, 1** ἤτοι] τὸ καὶ L | καὶ om. X | λεγόμενον X ἀποκρουστικὸν – 2 μονήμερον transp. L **2** μονοήμερον X | ποιοῦν P ¦ ὠφελοῦν L | μυοκέφαλοι P ¦ μυοκέφαλον X L **3** πρὸς[1] om. X | καὶ[1] om. X | πρὸς[2] om. X | καὶ[2] om. X | πρὸς[3] om. X **4** σμηχικὸν X πάσης παλαιᾶςL | νέαν X | κεχρονισμένης διάθεσις L **5** ἡ σύνθεσις X | δεδοξασμένων L | ἀποδοκιμασίας τοῦτο τὸ L | post κολλούριον add. ἔχει P **7** ξανθῆς om. P X **8** ζζ΄΄ X ¦ ζιντζιβέρεως L | ὀποῦ sic X **9** τρίψας – 10 μετ᾽ om. P **10** ταῦτα – ζύμωσον] δεῦσον X | ἀμιναίου om. X | τοῦ ἀρκοῦντος L | καὶ σκευάσας om. X καὶ – 11 δίδου om. P | πλάττε – 11 δίδου om. X **11** post δίδου add. ἐπὶ τῆς χρείας L **70, 1** ο΄] νϛ΄ X | φῶς Ὠριγένους transp. L | λεγόμενον om. P X | ὀξυδερκὲς X | τὸ χρυσοῦν om. L | ἔλεγε – 2 τίς om. X | ἔλεγε – 3 θαυμάσιον] καὶ τις κατὰ τὸν ὅλον βίον αὐτοῦ ἐκ περιόδου ἀμβλυωπίας γινομένης αὐτῷ χρώμενος καὶ ταύτης ἀπαλλαττόμενος καὶ πάλιν ἐξ ὑπαρχῆς ὀξυωπέστατος γινόμενος, χρυσοῦν αὐτὸ ἐκάλεσεν, ἔχει L **2** ἐχρᾶτο] τοῦτο τὸ κολλούριον χρᾶσθαι P ¦ ἐχρῆτο X | βίον – ὅταν transp. P | αὐτοῦ X | ὅτε X | ἠμβλυώπει X ἐγχριόμενου P | αὐτοῦ P X **3** ἡ σύνθεσις X | post θαυμάσιον add. ἔχει: P **4** κοινοῦ om. X | δ΄ P X | ταῦτα om. X | ταῦτα – 5 μεθ᾽ om. P **5** δεῦσον X | ὀμβρίου om. X | ὀμβρίμου τοῦ ἀρκοῦντος L | καὶ – 6 χρείας om. P X | πλάσσον L **6** post τοῦτο add. τὸ κολλοῦριον P | ὑποκειμένους om. X | διαυγέστερου L **7** ἔστι – δόκιμον om. P X L

71 οα΄ Κολλούριον, Ἑρμοῦ τοῦ Τρισμεγίστου· περιβόητον ὀξυδερκές, ἀγαθὸν καὶ πρὸς κνησμώδεις καὶ περιβεβρωμένους κανθούς· οὐλὰς παχείας καὶ πρὸς πάντα τὰ ἐπισκοτοῦντα, ταῖς κόραις καὶ βαρέα βλέφαρα καὶ πᾶσαν ἀμβλυωπίαν, διὰ πείρας· πάνυ θαυμαστόν· ἔχει:

Καδμείας κεκαυμένης καὶ πεπλυμένης, ὁλκὰς ιβ΄· ψιμύθιν πεπλυμένον, ὁλκὰς ϛ΄· πεπέρεως λευκοῦ· κόμμεως, ἀνὰ ὁλκὰς γ΄· ὀπίου, ὁλκὴν α΄ καὶ ἥμισυ· ἰοῦ, ὁλκῆς ἥμισυ· ὀποῦ βαλσάμου, ὁλκὴν α΄· ταῦτα πάντα τρίψας καλῶς, ζύμωσον μετὰ χυλοῦ μαράθρου τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, πλάσσε κολλούρια· ἐπὶ δὲ τῆς χρείας, δίδου.

72 οβ΄ Κολλούριον τὸ διὰ τοῦ χυλοῦ τῆς ῥίζης, τοῦ ἀγρίου σικύου· ὠφελεῖ, πρὸς οὐλὰς καὶ λευκώματα καὶ πᾶσαν παλαιὰν διάθεσιν καὶ πρὸς ἀμβλυωπίας καὶ ὀξυδερκές, ἀγαθὸν διὰ πείρας· ἔχει:

Κόμμεως, οὐγγ ἥμισυ· ἀμμωνιακοῦ θυμιάματος· ἰοῦ ξεστοῦ· ψιμύθιν, ἀνὰ ὁλκὴν α΄· ταῦτα πάντα τρίψας καλῶς, ζύμωσον μετὰ χυλοῦ τῆς ῥίζης τοῦ ἀγρίου σικύου τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς πλάσσε κολλούρια καὶ ἐπὶ τῆς χρείας δίδου.

73 ογ΄ Κολλούριον, τὸ ἀχάριστον· ὠφελεῖ πρὸς διαθέσεις πλείστας καὶ μάλιστα, πρὸς τοὺς γλαυκοφθάλμους καὶ ἀγροικοτέρους· ἔχει:

Χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου, ἀνὰ οὐγγ α΄ καὶ ἥμισυ· κρόκου· ἀλόης ξανθῆς, ἀνὰ ὁλκὰς ϛ΄· ὀπίου, ὁλκὰς ιβ΄· καστόριν, λυκίου Ἰνδικοῦ, ἀνὰ ὁλκὴν α΄· ἀκακίας ξηρᾶς· κόμμεως, ἀνὰ ὁλκὴν α΄ καὶ ἥμισυ· ταῦτα πάντα τρίψας καλῶς, ζύμωσον μεθ’ ὕδατος ὀμβρίου τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, πλάττε κολλούρια καὶ ἐπὶ τῆς χρείας δίδου.

74 οδ΄ Κολλούριον, πάντα ὠφελοῦν· ὅ ἐκέχρητο Κῦρος· θαυμαστὸν πάνυ καὶ ἐπαινετόν· ἔχει:

Καδμείας πεπλυμένης καὶ κεκαυμένης, οὐγγ α΄· χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου, οὐγγ ἥμισυ καὶ τέταρτον· μολύβδου κεκαυμένου καὶ πεπλυμένου· ῥόδων τὸ ἄνθος, ἀνὰ οὐγγ α΄ καὶ ἥμισυ· καστόριν· κασίας, ἀνὰ οὐγγ ἥμισυ· ναρδοστάχυος, ὁλκὰς β΄· λίθου σχιστοῦ· λίθου αἱματίτου· φύλλου· στρουθίου· λεπίδος χαλκοῦ, ἀνὰ γράμματα, γ΄· ῥόδων ζωμόν, οὐγγ α΄· σμύρνης· κρόκου, ἀνὰ οὐγγ ἥμισυ· ψιμύθιν, οὐγγ α΄· ὀπίου, οὐγγ

---

**71, 1** οα΄] ο΄ P ¦ νζ΄ X | περιβόητον ὀξυδερκές transp. X | ὀξυδερκές ἀγαθὸν transp. L | ὠφελοῦν L **3** βαρυνόμενα L | post καὶ[2] add. πρὸς X | post ἀμβλυωπίαν add. ἔστι τοῦτο πάνυ P | διὰ – 4 θαυμαστόν om. X | δεδοκιμασμένον L | πάνυ – 4 θαυμαστόν om. P **4** ἡ σύνθεσις X **5** ψιμυθίου L | πεπλυμένου X **7** ὀποβαλσάμου X | ταῦτα πάντα om. X | ταῦτα – μετὰ om. P | καλῶς ζύμωσον] δεῦσον X | σὺν χυλῷ X **8** τοῦ ἀρκοῦντος L | τὸ – δίδου] ἀναλάμβανε καὶ χρῶ, ὡς δόκιμον P ¦ καὶ ποίει X | πλάσσον L | ἐπὶ – χρείας] καὶ L **72, 1** οβ΄] οδ΄ X | ποιοῦν P ¦ om. X ¦ ὠφελοῦν L **2** καὶ[1]] πρὸς X | καὶ[2] om. X | καὶ[3]] ἔστι γὰρ τοῦτο L **3** διὰ πείρας om. X | ἡ σύνθεσις X **4** ξυστοῦ X L | ψιμυθίου L **5** ταῦτα πάντα om. X | ταῦτα – μετὰ om. P δεῦσον X | τῆς – 6 δίδου om. X | τοῦ ἀρκοῦντος L **6** καὶ[1] – δίδου om. P | δίδου om. L **73, 1** ογ΄] οε΄ X ποιοῦν P ¦ om. X ¦ ὠφελοῦν L | πρὸς[1]] εἰς X | πλείστας om. L **2** ἡ σύνθεσις X **3** ξανθῆς om. P X **4** καστορίου X L | Ἰνδικοῦ om. X | κιρρᾶς P ¦ om. X **5** ταῦτα πάντα om. X | ταῦτα – μεθ’ om. P | καλῶς ζύμωσον] δεῦσον X **6** ὀμβρίμου L | τοῦ ἀρκοῦντος L | ἀρκοῦν – δίδου om. X | καὶ[1] – δίδου om. P πλάσσον L **74, 1** οδ΄] ος΄ X | post Κολλούριον add. πρός X | πάντα – ἐπαινετόν] εἰς πάντα τὰ πάθη τῶν ὀφθαλμῶν, ὠφέλιμον καὶ δόκιμον, ᾧ ἐχρῆτο καὶ ὁ Κῦρος L | ποιῶν P | ᾧ X | θαυμαστὸν – ἐπαινετόν om. X πάνυ – ἐπαινετόν om. P **2** ἡ σύνθεσις X **3** πεπλυμένης – κεκαυμένης transp. X **4** ἄνθους ῥόδων L | τὸ om. X | ἄνθους X **5** καστορίου X L **7** ζωμοῦ ῥόδων L | τοῦ χυλοῦ P | ζζ΄΄ P | ψιμυθίου L

ἥμισυ· ἀλόης ξανθῆς· λυκίου, ἀνὰ ὁλκὰς β΄· λιβάνου· ἀκακίας· κόμμεως, ἀνὰ γράμματα γ΄· τρίψας ταῦτα καλῶς, ζύμωσον μεθ’ ὕδατος ὀμβρίου· τὸ ἀρκοῦν καὶ ᾠῶν τὰ λευκὰ β΄ καὶ σκευάσας καλῶς, πλάττε κολλούρια καὶ δίδου.

οε΄ Κολλούριον, τὸ δι’ ἐρείκης, καλούμενον· ὠφελεῖ, πρὸς λευκώματα καὶ ἀμβλυωπίας 75
ἐξόχως· ἔστι δὲ πάνυ δόκιμον· ἔχει:

Καδμείας κεκαυμένης καὶ ἐσβεσμένης, ἐν γάλακτι γυναικείῳ καὶ πεπλυμένης· χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου, ἀνὰ ὁλκὰς η΄· λίθου Ἀσίου, ὁλκῆς ἥμισυ· ἐρείκης καρποῦ, ὁλκὰς ε΄· σμύρνης· ὀπίου· καστορίου, ἀνὰ ὁλκὰς β΄· ἀκακίας, ὁλκὰς ια΄· κόμμεως, ὁλκὴν α΄· ταῦτα πάντα τρίψας καλῶς, ζύμωσον μεθ’ ὕδατος ὀμβρίου τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, πλάττε κολλούρια· ἐπὶ δὲ τῆς χρείας· δίδου.

ος΄ Κολλούριον, τὸ λεγόμενον ὁ στρατιώτης· ὀξυδερκές· ὠφελοῦν πρὸς ἀμβλυωπίαν 76
καὶ τοὺς ἐκ νόσου, ἀτροφοῦντας ὀφθαλμούς· μετὰ διὰ λιβάνου· πάνυ θαυμαστόν· ἔχει:

Καδμείας κεκαυμένης καὶ πεπλυμένης, ὁλκὰς ιβ΄· ὀπίου· μίσυος, ἀνὰ ὁλκὰς β΄· ἰοῦ ὁλκὴν α΄· πεπέρεως λευκοῦ, ὁλκὰς γ΄· κόμμεως, ὁλκὰς γ΄ καὶ ἥμισυ· τρίψας ταῦτα καλῶς, ζύμωσον μεθ’ ὕδατος ὀμβρίου τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, πλάττε κολλούρια καὶ δίδου.

οζ΄ Κολλούριον, ὁ Ἀντωνῖνος· τὸ καὶ πηλάριον καλούμενον· ἀναπληροῖ βόθρια καὶ 77
σμήχει οὐλάς· ἔστι δὲ καὶ ἀνώδυνον μονήμερον καὶ πρὸς πᾶσαν διάθεσιν ὀφθαλμῶν· ἔχει:

Καδμείας κεκαυμένης καὶ πεπλυμένης, ὁλκὰς ιβ΄· ψιμυθίου πεπλυμένου, ὁλκὰς κ΄· κρόκου· χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου, ἀνὰ ὁλκὴν α΄· σμύρνης, ὁλκῆς ἥμισυ· ὀπίου· ἀκακίας, ἀνὰ ὁλκὰς ιβ΄· τραγακάνθης, ὁλκὰς ϛ΄· ἀμύλου, ὁλκὰς ε΄ καὶ ἥμισυ· κόμμεως, οὐγγ α΄ καὶ ἥμισυ· τοῦτο ἐπέχει καὶ δάκρυον καὶ ὕπνον παρέχει· χρῶ δὲ καὶ πρὸς ἀρχάς, ὕδατι παχεῖ καὶ αὐτῷ, ἐπίχριε καὶ πρὸς ἐπικαύματα, ὕδατι χρῶ· στέλλει δέ, φλυκτίδος· χημώσεις λύει· ὠφελεῖ δὲ καὶ πρὸς γλαυκοφθάλμους· ὑποπύους καὶ μυοκέφαλα καὶ τοὺς εὐνούχους καὶ τοὺς ἁπαλοὺς χρῶτας.

---

**8** ξανθῆς om. P X **9** τρίψας – ζύμωσον om. P | ταῦτα – ζύμωσον] δεῦσον X | μεθ’ – ἀρκοῦν post β΄ P ὀμβρίμου L | τὸ ἀρκοῦν om. X ¦ τοῦ ἀρκοῦντος L | λευκῶν ᾠῶν L **10** καὶ[1] – δίδου om. P X | post δίδου add. ἐπὶ τῆς χρείας L **75, 1** οε΄] οζ΄ X | ποιοῦν ¦ om. X | ὠφελοῦν L **2** ἐξόχως – δόκιμον om. X | ἔστι – δόκιμον om. P L | ἡ σύνθεσις X **3** post κεκαυμένης add. καὶ πεπλυμένης P | σβεννυμένης post γάλακτι P | γυναικείῳ – πεπλυμένης om. P **4** ἐρείκης καρποῦ transp. L **5** σμύρνης sic! P **6** ταῦτα πάντα om. X | ταῦτα – μεθ’ om. P | καλῶς – μεθ’] δεῦσον X | ὀμβρίμου L | τοῦ ἀρκοῦντος L | τὸ – 7 δίδου om. X | καὶ – 7 δίδου om. P **7** πλάσσον L | ἐπὶ – χρείας] καὶ L **76, 1** ος΄] ξα΄ X | τὸ λεγόμενον om. P | ὠφελοῦν om. P ¦ ὠφελεῖ X **2** μεμαραμένους L | μετὰ – θαυμαστόν om. X L | πάνυ θαυμαστόν om. P | ἡ σύνθεσις X **4** τρίψας – 5 μεθ’ om. P | ταῦτα – 5 ζύμωσον] δεῦσον X **5** ὀμβρίμου L | τοῦ ἀρκοῦντος L | τὸ – 6 δίδου om. X | καὶ – 6 δίδου om. P | πλάσσον L **6** post δίδου add. ἐπὶ τῆς χρείας L **77, 1** οζ΄] ξβ΄ X | Ἀντώνιος P | καλούμενον om. P ¦ ὀνομαζόμενον X ¦ λεγόμενον L | ἀναπληροῦν L **2** ἔστι – καὶ[1] om. L | καὶ[1] om. X | μονοήμερον X ¦ post ὀφθαλμῶν L **3** ἡ σύνθεσις X **4** κ΄] κδ΄ P **5** ζζ΄΄ P **7** τοῦτο – παρέχει] τρίψας καὶ σκευάσας καλῶς δίδου ἐπὶ τῆς χρείας L | καὶ[2] om. X | καὶ[3] om. X | ὕπνον] οἶνον P **8** ὕδατι[1] – ἐπίχριε post ἐπικαύματα L | post ἐπίχριε add. ὁμοίως P | post ὕδατι[2] add. τούτῳ X | ὕδατι χρῶ om. L | δέ om. X **9** ποιεῖ P | δὲ om. X ὑπόπυα P ¦ ὑπώπια X ¦ ὑπωπίους L **10** ἁπαλόχροας X ¦ ἁπαλόχρωτας L

78 οη´ Κολλούριον, τὸ καλούμενον εὐῶδες· οἷον ἄλλο οὐκ ἔστιν πρὸς πάντα καὶ τραύματα καὶ μυοκέφαλα μετ᾽ ᾠοῦ ἢ γάλακτος, τοῦτο παραλύσας· εἰς ἕτερον δέ, μὴ ζήτει· ἔχει:

Καδμείας κεκαυμένης καὶ πεπλυμένης, ὁλκὰς δ´· χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου· ῥόδων ξηρῶν· κρόκου, ἀνὰ ὁλκὰς β´· λίθου σχιστοῦ· φύλλου· σμύρνης· ὀπίου, ἀνὰ ὁλκὴν α´· κόμμεως, ὁλκὰς γ´· ταῦτα τρίψας καλῶς, ζύμωσον μετ᾽ οἴνου εὐῶδες τὸ ἀρκοῦν καὶ πλάττε κολλούρια καὶ δίδου.

79 οθ´ Κολλούριον, ἀσύγκριτον· παρὰ Θεοφίλου χειρουργοῦ· ὃ παραδόξως μαρτυρεῖ· ὠφελεῖ, ἐν μυοκέφαλα καὶ σταφυλώματα· ποιεῖ γάρ, ἄνευ χειρουργίας καὶ πρὸς πᾶν λεύκωμα· ἔχει:

Ἀμμωνιακοῦ, οὐγγ α´· σηπίας ὀστράκου τὸ ἐντός· ἰοῦ ξεστοῦ· σμύρνης· κόμμεως, ἀνὰ οὐγγ ἥμισυ· ἀλόης ξανθῆς, ἐξαγ α´ καὶ ἥμισυ· τρίψας ταῦτα καλῶς, ζύμωσον μεθ᾽ ὕδατος ὀμβρίου τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, πλάττε κολλούρια καὶ δίδου.

80 π´ Κολλούριον, τὸ λεγόμενον ὁ Μεμφίτης· ὠφελεῖ, πρὸς λευκώματα καὶ ἀμβλυωπίας καὶ ὑποχύσεις καὶ πᾶσαν παλαιὰν διάθεσιν· ἔχει:

Ἀμμωνιακόν, οὐγγ ἥμισυ· ἰοῦ ξεστοῦ· ὀποπάνακος· ὀποῦ Κυρηναϊκοῦ, ἀνὰ ὁλκῆς ἥμισυ· σαγαπηνοῦ· κόμμεως, ἀνὰ ὁλκὴν α´· σηπίας ὀστράκου τὸ ἐντὸς ὁλκὰς β´· ταῦτα τρίψας καλῶς, ζύμωσον, μεθ᾽ ὕδατος ὀμβρίου τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, πλάττε κολλούρια καὶ δίδου.

81 πα´ Κολλούριον, πρὸς τριχιῶντας ὀφθαλμοὺς ὅσον οὐ βούλονται χειρουργηθῆναι· ἔχει:

Νυκτερίδος αἷμα καὶ τὸ ἧπαρ λειώσας, ποίησον κολλούριον καὶ ἐπὶ τῆς χρείας, ἐκ τύλας, ἐκ ῥιζῶν τὰς τρίχας, παρ᾽ αὐτὰ κονίου χυλόν, ἀναλύσας τὸ κολλύριον· ἅψαι τοὺς τόπους· ὅθεν τὴν τρίχαν ἐσπάσας·

---

**78, 1** καλούμενον om. P | post εὐῶδες add. ὠφελοῦν L | οἷον – ἔστιν om. X | ἄλλῳ P | πάντα καὶ om. L καὶ om. X **2** καὶ om. X | καὶ εἰς L | τοῦτο παραλύσας post μυοκέφαλα L | παραλείψας P ¦ διαλύσας X | εἰς – 3 ζήτει om. X ¦ σκευαζόμενον καὶ εἰς τὰ ἄλλα δὲ πάντα τῶν ὀφθαλμῶν πάθη L **3** ἡ σύνθεσις X **5** ζζ´´ P **6** ταῦτα om. X | ταῦτα – μετ᾽ om. P | ζύμωσον μετ᾽] δεῦσον X | οἴνῳ X **7** εὐώδους L | εὐῶδες – δίδου om. X | τοῦ ἀρκοῦντος L | καὶ[1] – δίδου om. P | πλάσσον L **79, 1** οθ´] οη´ P | post ἀσύγκριτον add. ὁ ἔλαβον L | ὅ – μαρτυρεῖ om. X L **2** ποιεῖ P ¦ ὠφελοῦν L | πρὸς P ¦ εἰς X L | ποιεῖ γὰρ om. L | γὰρ om. X **3** ἡ σύνθεσις X **4** τὸ ἐντός om. P | ξυστοῦ X L | ζζ´´ P **5** ξανθῆς sic! P ¦ om. X | τρίψας – μεθ᾽ om. P | ταῦτα – μεθ᾽] δεῦσον X **6** ὀμβρίμου L | τοῦ ἀρκοῦντος L | τὸ – δίδου om. P X | σκευάσας καλῶς om. L | πλάσας L **80, 1** τὸ λεγόμενον om. P X | ποιοῦν P ¦ om. X ¦ ὠφελοῦν L | καὶ om. X **2** καὶ[1] om. X | post καὶ[2] add. πρὸς X | ἡ σύνθεσις X **3** Ἀμμωνιακοῦ X L | ξυστοῦ X **4** τὸ ἐντὸς om. P | ταῦτα om. X | ταῦτα – 5 μεθ᾽ om. P **5** καλῶς[1] – μεθ᾽] δεῦσον X | ὀμβρίμου L | τοῦ ἀρκοῦντος L | τὸ – 6 δίδου om. X | καὶ – 6 δίδου om. P πλάσσον L **81, 1** πα´] π´ P | post Κολλούριον add. ὠφέλιμον L | ὅσοι X | ὅσον – χειρουργηθῆναι om. L ἔχει om. X **2** ποίει X | post καὶ[2] add. ἐκπλάσας X | ἐπὶ – ἐκ om. L | ἐπὶ – 3 ῥιζῶν] ἄλειψον τὰς τρίχας superscr. τοὺς τόπους post χυλὸν X **3** τίλλων L | παρ᾽ αὐτὰ om. X | παρ᾽ αὐτίκα, ἐπίχριστον τόπον L ἀναλύων L | ἀναλύσας – κολλύριον post τρίχας X | κολλούριον L | ἅψαι – 4 τόπους om. X | ἅψαι – 4 ἐσπάσας] ἀφ᾽ οὗ τὰς τρίχας ἀνεσπάσας καὶ εἰς τὸ ἑξῆς, ἕτεραι τρίχες οὐκ ἀναφυήσονται L **4** αὐτὰς X ἀνεσπάσας P X

Ὁμοίως· χειρούμενον κολλούριον· διὰ ῥόδων καὶ γάλα γυναικὸς πρωτοτόκου καὶ χολῆς αἰγείας· ὁμοῦ ἀναλαβών, χρῶ. 81a

Ὡσαύτως· μετὰ τὸ ἐκτῖλαι παρ' εὐθὺς τῆς σμίλης τὸν πυρῆνα, ὕδατι βράζοντι, πυρώσας, περίαπτε καὶ ἐκ τούτου, τυλώσας ὁ τόπος· αἱ τρίχες, οὐκέτι φύονται· ταῦτα δὲ τὰ τρία, καλὰ καὶ δόκιμα εἰσίν. 81b

πβ΄ Κολλούριον, βάπτον λευκώματα καὶ οὐλάς· ἔχει: 82

Ὑοσκυάμου χυλόν, ὁλκῆς ἥμισυ· μολύβδου κεκαυμένου, ὁλκὴν α΄· μελαντηρίου, ὁλκὰς δ΄ καὶ ἥμισυ· κηκῖδος, ὀμφακίτιδος· χαλκάνθου· κόμμεως, ἀνὰ ὁλκὰς β΄· στίμμεως κεκαυμένης, ὁλκῆς ἥμισυ· ταῦτα πάντα τρίψας καλῶς, ζύμωσον μεθ' ὕδατος ὀμβρίου τὸ ἀρκοῦν καὶ πλάττε κολλούρια καὶ δίδου.

πγ΄ Κολλούριον, βάπτον, τὰς ἐν ὀφθαλμοῖς οὐλάς· ἔχει: 83

Μολύβδου κεκαυμένου καὶ πεπλυμένου, ὁλκὴν ἥμισυ καὶ τέταρτον· ῥοᾶς τὸ μέσον· τοῦ περὶ τοὺς κόκκους, εὑρισκόμενον· κηκῖδος ὀμφακίτιδος· κόμμεως, ἀνὰ ὁλκὰς β΄ καὶ ἥμισυ· ταῦτα τρίψας καλῶς, ζύμωσον μετὰ χυλοῦ τῶν ῥόδων τὸ ἀρκοῦν καὶ πλάττε κολλούρια καὶ δίδου.

πδ΄ Κολλούριον ὀφθαλμικόν, δεδοκιμασμένον· ὠφελεῖ πρὸς λευκώματα καὶ νεφέλας παντοίας γινομένας, θεραπεύει εὐθύς· ἔχει: 84

Τούτιαν, οὐγγ α΄· κεκαυμένην καὶ πεπλυμένη πλειστάκις ἐν οἴνῳ καλῷ· καμφοράς, οὐγγ ἥμισυ· ὀνύχιν, ὄνου κεκαυμένον· μόσχον· σηπίας ὄστρακον· μαργαριτάριν· σάχαρ, ὅσον ὅλα τὰ εἴδη· κρόκον· κέρατος ἐλαφείου κεκαυμένου· λιβάνου ἄρρενος· τρίψας ταῦτα πάντα ὡς χνοῶδες, δίδου ἐν τῷ ὀφθαλμῷ, τοῦ πάσχοντος πρωὶ καὶ ἑσπέρας.

---

**81a, 1** Ὁμοίως – κολλούριον] praeceptum πα΄ Κολλούριον ἐπὶ τῷ αὐτῷ ὅμοιον τὸ τοιοῦτον P ¦ Ἄλλο X χειρούμενον in margine εἶχε χειρόμενον L | λαβὼν P | post ῥόδων add. ῥόδα X | μετὰ γάλακτος L **2** χολὴν αἰγείαν X | ὁμοῦ om. L | ἀναλαβών χρῶ] τρίψας καὶ μαλάξας ποίησον κολούριον ἐπὶ δὲ τῆς χρείας ἀνελόμενον χρῶ· ὡς τὸ πρὸ αὐτῆς. X | χρῶ] ἐπίχριε μετὰ τὸ ἐκτίλλαι τὰς τρίχας, τὸν τόπον L **81b, 1** Ὡσαύτως novum praeceptum; sine numero; Ἄλλον εἰς τὸ αὐτὸν P | post εὐθὺς add. τὰς τρίχας P ¦ add. λαμβάνων L μύλης X L | βαστάζοντι, ἐμβάψας καὶ L **2** περίαπτε P | τὸν τόπον L | τυλωθέντος L | ὑπὸ τοῦτου τοῦ τόπου | ἀναφυήσονται L | εἰσὶν L | ταῦτα – 3 εἰσίν om. X **3** post τρία add. πρὸς τὰ τριχιοῦντα βλέφαρα, πάνυ P | ταῦτα δεδοκιμασμένα L | εἰσίν om. L **82, 1** ἡ σύνθεσις X **2** χυλοῦ X | μελαντηρίας P L **4** κεκαυμένου X L | ταῦτα πάντα om. X | ταῦτα – μεθ' om. P | καλῶς – μεθ'] δεῦσον X | ὀμβρίμου τοῦ ἀρκοῦντος L | τὸ – 5 δίδου om. X **5** πλάσσον L | post δίδου add. δίδου ἐπὶ τῆς χρείας L **83, 1** πγ΄ sine numero P | ἡ σύνθεσις X **2** ῥοιᾶς X | ῥοᾶς – 3 εὑρισκόμενον] τοῦ μέσου τῶν κοκκίων τοῦ ῥοϊδίου L **3** τοῦ τὸ X | εὑρισκόμενον om. X **4** ταῦτα om. X | ταῦτα – μετὰ] ἀναλάμβανε P | καλῶς – μετὰ] δεῦσον X χυλῷ X | τοῦ ἀρκοῦντος L | τὸ – 5 δίδου om. X | πλάσσον L | πλάττε – 5 δίδου] χρῶ P **5** post δίδου add. ἐπὶ τῆς χρείας L **84, 1** ὠφελεῖ om. X ¦ ὠφελοῦν L **2** γινομένας – εὐθύς om. X | θεραπεύει] εἰς ὀφθαλμοὺς εὐθὺς γὰρ καθαίρει αὐτὰς L | ἡ σύνθεσις X **3** Τουτίας L | καλῷ om. X **4** ὄνυχα X ¦ ὀνύχιον L | σάχαρ – 5 εἴδη post ἄρρενος L **5** κρόκου X | κέρας ἐλάφειον κεκαυμένον L | ἐλάφου X | λίβανον ἄρρενα L | ἄρρενος om. X **6** ταῦτα – χνοῶδες om. X | καὶ ποιήσας χνοώδη L | ἔμβαλε L | τῷ ὀφθαλμῷ post πάσχοντος L | τοῦ πάσχοντος om. X | κατὰ τῆς L

85 πε΄ Κολλούριον, ὀφθαλμικὸν διὰ πείρας, ἡ λεγομένη διαθήκη, τοῦ Χρυσοχόου ὀνομαζομένη· εὑρέθη δὲ ἡ παροῦσα φανέρωσις αὕτη· ἔχει δὲ ἡ διδασκαλία, οὕτως· ἐν Ἀλεξανδρείᾳ δέ, ἦν τις Χρυσοχόος ὁ νεώτερος, τὴν ἡλικίαν· ὅσον χρονῶν, λβ΄· συνέβη δὲ καὶ ἐτυφλώθη οὗτος καὶ μὴ δυνάμενος κάμνειν καὶ ζῆσαι, ἐπτώχευσεν σφόδρα· κατέφυγεν δὲ οὗτος, ἐν τῷ ναῷ τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ ἦν ἐκεῖσε διατρίβων, νηστείαις καὶ δεήσεσιν, καθ' ἑκάστην σχολάζων· ἐν μιᾷ οὖν νυκτί, φωνῆς ἤκουσεν λεγούσης αὐτῷ· ἀνάστα νεανίσκε καὶ εἴσελθε εἰς τὸ ἐνδότερον ταμεῖον, τοῦ θυσιαστηρίου καὶ εὑρήσεις χαρτίον γεγραμμένον· ἀνάλαβε τὸν τοιοῦτον χάρτην καὶ διαπραξάμενος κατὰ τὸ γεγραμμένον ἐν αὐτῷ, καθὼς δηλοῖ· Ἐγὼ δὲ ἀναστὰς καὶ εἰσελθὼν ἐν τὸ ἐνδότερον τοῦ θυσιαστηρίου, εὗρον τὸν χάρτην γεγραμμένον καὶ διαπραξάμενος κατὰ τὸ γεγραμμένον αὐτοῦ, εὐθέως ἀνέβλεψα καὶ ἐθεράπευσα καὶ ἑτέρους πολλοὺς Χάριτι τοῦ Θεοῦ· ἡ χάρις δὲ αὕτη, οὕτως ὑπάρχει ἕως τὴν σήμερον καὶ ἔστιν δεδοκιμασμένη παρὰ πολλῶν καὶ ἐν ἀληθείᾳ, οὕτως ἔχει:

Καδμείας κεκαυμένης, οὐγγ γ΄· σμύρνης ἀληθινῆς, οὐγγ α΄· καστόριν, ἐξαγ δ΄· τούτιαν, οὐγγ ἥμισυ· λεπίδος σιδήρου, ἐξαγ α΄· ὀπίου· λιβάνου· κασίας, ἀνὰ ἐξαγ γ΄· λίθου σχιστοῦ· καλακάνθην, ἀνὰ ἐξαγ β΄· ψιμύθιν· κόμμεως καλῆς, ἀνὰ οὐγγ α΄· πεπέρεως λευκοῦ, ἐξαγ γ΄ καὶ ἥμισυ· ὀποῦ βαλσάμου· μαράθρου χυλόν· χολῆς αἰγός, ἀνὰ οὐγγ α΄· ἀκακίας· λεπίδος στομώματος, ἀνὰ οὐγγ γ΄· τρίψας ταῦτα πάντα καλῶς, ζύμωσον μετὰ ῥοδοστάγματος, ὅσον οὐγγ γ΄ καὶ οἴνου εὐῶδες τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, πλάττε κολλούρια· ἐπὶ δὲ τῆς χρείας, λαβὼν ἐξ αὐτοῦ ὅσον βούλει, δεῦσον μετὰ γάλακτος γυναικείου ἀρρενοτόκου καὶ ῥοδοστάγματος τὸ ἀρκοῦν· εἶτα ἔμβαλε ἐν μασουρίῳ καὶ ἐπίθες τῷ πάσχοντι ἢ ἂν βούλει, ποίησον ὡς ξηρίον καὶ ἐπίθες πρωὶ καὶ ἑσπέρας.

---

**85, 1** διὰ πείρας om. X L | τὸ λεγόμενον L **2** ὀνομαζομένη om. X L | δὲ[1]] γὰρ L | δὲ[1] – διδασκαλία] καὶ παρεδόθη τοῖς μετὰ τὴν ἴασιν τοῦ Χρυσοχόου δεξαμένοις ἀν<θρώπ>οις, οὕτως L | αὕτη – διδασκαλία om. X **3** δέ om. X | ὁ – ἡλικίαν om. X | νέος L | ἕως X | ἐτῶν X | συνέβη – 4 ζῆσαι] νοσήματος δ[ε τινὸς κατὰ τοὺς ὀφθαλμοὺς συμβάντος αὐτῷ, τὴν ὁρατικὴν ἀπέβαλεν ὄψιν καταφαγὼν δὲ ὅσα εἶχεν, ἐπειδὴ οὐκ ἠδύνατο ἐργάζεσθαι δι' ἄλλον πόθεν τὰ πρὸς τὸ ζῆν πορίζεσθαι L **4** καὶ[1] αὐτῷ X | ἐτυφλώθη τυφλωθῆναι X | οὗτος καὶ om. X | δὲ κοπιᾶν X | λίαν X **5** καταφυγὼν X ¦ καταφεύγει L | δὲ οὗτος om. X L | εἰς ναὸν L Ὑπεραγίας – ἡμῶν om. L | καὶ – 6 Μαρίας om. L **6** καὶ ἦν om. X | καὶ[1] – ἑκάστην] ἐν ᾧ εὑρισκόμενος καὶ προσαιτῶν, τὸν βίον διήνυεν, μεταποιούμενος καὶ ἀρετῆς, ἦν γὰρ L | διέτριβε X **7** post σχολάζων add. ταῖς εἰς Θεοῦ ὑμνωδίαις καὶ προσανέχων ἀγρυπνίας καὶ νηστείας καὶ δεήσεσι καθ'ἑκάστην ἡμέραν L | τῶν ἡμερῶν L | φωνῆς ἤκουσεν transp. L | αὐτῷ om. X | ἀναστὰς L | ἄν< θρωπ> ε ἀνάστα X **8** εὑρὼν L **9** ἀνάλαβε – 10 δηλοῖ om. X **10** post δὲ add. φησὶν X | εἰσελθὼν – εὗρον] λαβὼν X **11** γεγραμμένον[1] – διαπραξάμενος] ἐποίησα X | αὐτοῦ] καὶ X **12** καὶ[1] om. X | ἄλλους X **13** τῆς X | καὶ[1] – οὕτως om. X | ἡ σύνθεσις X ¦add. δὲ ἡ τοῦτου κατασκευή ταῦτα L **14** καστορίου X L **15** τουτίας L **16** καλαμίνθης X ¦ καλακάνθης L | ψιμυθίου L | καλῆς om. X ¦ καλοῦ L **17** ὀποβαλσάμου X | μαράθρου χυλόν transp. L | χυλοῦ X | αἰγείας L **18** ταῦτα – 19 ζύμωσον] δεῦσον X **19** ὅσον – γ΄ om. X | εὐῶδες om. X ¦ εὐώδους L | σκευάσας – 20 πλάττε] ποίει X **20** πλάσσον L | ἐπὶ – δεῦσον] καὶ δεύσας τὸ κολλούριον X | αὐτῶν L **21** γυναικὸς L | τοῦ ἀρκοῦντος L εἶτα om. X **22** τῷ πάσχοντι om. X ¦ τοῖς ὀφθαλμοῖς τοῦ πάσχοντος L | εἰ L | ἂν βούλει om. X | ὡς om. X ἐπίθες[2]] ἐπιτίθει L

πς΄ Κολλούριον, ὠφέλιμον, πρὸς λευκώματα ὀφθαλμῶν καὶ νεφέλας τήκει θαυμαστῶς καὶ πάντα τὰ κατερχόμενα ἐπ᾽ αὐτῶν· ἔχει: 86

Βάλσαμον, ἐπιχριόμενον ἔσωθεν ἢ σάχαρ δίδου, σὺν τῆς λεγομένης τούτιας καὶ μαργαριτάριν· τὰ ἀμφότερα, ὡς χνοῶδες ἢ περιστερίου τὸ αἷμα, τὸ ὑπὸ κάτωθεν τοῦ πτεροῦ αὐτοῦ, προσφάτου· ἔνσταζεν τῷ ὀφθαλμῷ ἢ παιδὸς ἀφθόρου, τὸ αἷμα τοῦ δακτύλου αὐτοῦ, ἔνσταζε, ἔσωθεν τοῦ ὀφθαλμοῦ· ὕστερον δὲ δίδου ἄνωθεν σάχαρ· πλὴν δέ, δίδου πλειστάκις· γάλακτι γυναικείῳ ἀρρενοτόκου καὶ ἄνωθεν σάχαρ καὶ οὕτως δίδου πλειστάκις· χρῶ.

πζ΄ Ὕδατος ὀφθαλμικοῦ σκευασία· ὠφελεῖ· πρὸς φλεγμονὰς καὶ ὀδύνας καὶ πρὸς λευκώματα καὶ νεφέλας ὀφθαλμῶν, δόκιμον· ἔχει: 87

Τούτια, ἐξαγ γ΄· γαρόφαλα· μάκερ, ἀνὰ ἐξαγ α΄· σηπίας ὄστρακον, ἐξαγ α΄ καὶ ἥμισυ· κάντεον, ἐξαγ α΄· καμφοράν, ἐξαγ α΄ καὶ ἥμισυ· μόσχον σκρόπουλ β΄· ἀτζαροῦτο, ἐξαγ α΄· δρακόντιον αἷμα· ψιμύθιν, ἐξαγ ἥμισυ· ἀλόην ξανθήν, ἐξαγ α΄· κομμίδιν Ἀραβικόν, ἐξαγ τέταρτον· χρυσοβάλανον κίτρινον, ἐξαγ ἥμισυ· χαλκάνθου, ἐξαγ α΄· στυπτηρίας σχιστῆς, ἐξαγ ἥμισυ καὶ τέταρτον· τρίψας ταῦτα ὡς χνοῶδες· δεῦσον μετὰ ῥοδοστάγματος ἀκράτου, λίτρ α΄ καὶ οἴνου λευκοῦ εὐώδους, λίτρ ἥμισυ καὶ τέταρτον καὶ σκευάσας καλῶς, χρῶ.

---

**86, 1** ὠφέλιμον om. X | τήκει post αὐτῶν L | θαυμαστῶς om. X L **2** τὰ om. X | ἐπ᾽ – ἔχει om. X **3** ἐπιχριόμενον – λεγομένης om. L | δίδου – λεγομένης] καὶ X **4** τὰ – χνοῶδες] τρίψας καὶ ποιήσας χνοώδη L | ἀμφότερα om. X | ἢ – 8 χρῶ] βάλε ἐν αὐτοῖς καὶ σάχαρ καὶ μαλάξας, ἔγχεε τὸ ἐντὸς τῶν βλεφάρων τῶν ὀφθαλμῶν ἢ περιστερίου μικροῦ πτεὸν τὸ ὑπὸ κάτωθεν τῆς πτέρυγος ἀνασπῶν, τὸ ἀπὸ τούτου πρόσφατον αἷμα, ἔνσταζε τῷ ὀφθαλμῷ τ«ἔχοντι τὸ λεύκωμα ἢ παιδὸς ἀφθόρου αἷμα τοῦ δακτύλου αὐτοῦ λαβών, στάζε ἔνδοθεν τοῦ ὀφθαλμοῦ καὶ ὕστερον ἐπίπαττε σάχαρ ἢ ἔνσταζε γάλα γυναικὸς ἀρρενοτόκου καὶ ἄνωθεν ἐπίπαττε σάχαρ καὶ ποίει τοῦτο πλειστάκις L | τὸ[1] om. X | κάτωθεν om. X **6** αὐτῆς X | ἔσωθεν om. X | τῷ ὀφθαλμῷ X | ὕστερον – ἄνωθεν] εἶτα ἐπίπασσε X | πλήν – 7 δίδου] ἢ X **7** post πλειστάκις add. ἐπιτίθει X γάλα γυναικὸς X | ἄνωθεν] ὕστερον X | καὶ[2] – 8 χρῶ om. X **87, 1** ὠφελοῦσα L | καὶ[1] om. X | καὶ πρὸς om. X **2** ὀφθαλμῶν om. L | ὀφθαλμῶν δόκιμον om. X | ἡ σύνθεσις X **3** Τουτίας L | γαρούφαλα X καροφάλων L | ὀστράκου σηπίας L **4** μόσχου L **5** δρακοντίου αἵματος L | ψιμυθίου L | ἀλόης ξανθῆς L | ξανθήν om. X | κομμιδίου ἀραβικοῦ L | Ἀραβικόν om. X **6** μυροβάλανον X | χρυσοβαλάνου κίτρινου L **7** ταῦτα – χνοῶδες om. X | καὶ ποιήσας χνοώδη L **8** ἀκράτου om. X | λευκοῦ om. L | εὐώδους om. X **9** καὶ – χρῶ om. X | χρῶ] δίδου χρῆσθαι τοῖς πάσχουσι. Τέλος τῶν κολλουρίων L

Ἀρχὴ σὺν Θεῷ Ἁγίῳ, ἐκ τοῦ κʹ στοιχείου

περὶ Κρανιακῶν πασμάτων

αʹ Κρανίου πάσματα, ἀναξηραντικά· θαυμαστά
βʹ Κρανίου πάσμα, πάνυ δόκιμον καὶ καλόν
γʹ Κρανίου πάσμα, ἀναξηραντικόν, δόκιμον
δʹ Κρανίου πάσμα, ἀναξηραντικόν, θαυμαστόν
εʹ Κρανίου πάσμα, ἀναξηραντικόν, εἰς πόνον κεφαλῆς
ϛʹ Κρανίου πάσμα, ἀναξηραντικόν, εἰς ῥεῦμα κεφαλῆς
ζʹ Κρανίου πάσμα, ἀναξηραντικόν· εἰς ῥευματισμὸν κρανίου
ηʹ Κρανίου πάσμα, ἀναξηραντικόν, πάνυ δόκιμον
θʹ Κρανίου πάσμα, ἀναξηραντικόν, εἰς πάντα τὰ ῥεύματα
ιʹ Κρανίου πάσμα, ἀναξηραντικόν· θαυμαστόν
ιαʹ Κρανίου πάσμα, ἀναξηραντικὸν εἰς πᾶν ῥεῦμα κεφαλῆς
ιβʹ Κρανίου πάσμα, ἀναξηραντικὸν εἰς κεφαλαλγίαν
ιγʹ Κρανίου πάσμα, ἀναξηραντικόν· εἰς ψυχρὰς διαθέσεις
ιδʹ Κρανίου πάσμα, ἀναξηραντικόν, πάνυ θαυμαστόν
ιεʹ Κρανίου πάσμα, ἀναξηραντικόν, πάνυ ἐπαινετόν

---

**P , 1** Ἀρχὴ – 2 περὶ om. P **2** Κρανιακὰ πάσματα P **3** πάσμα ἀναξηραντικόν P X | θαυμαστά om. P X **4** καὶ καλόν om. X **5** Πρὸς ῥεῦμα P | δόκιμον om. P ¦ ἄλλο X **6** πρὸς ῥεῦμα P | θαυμαστόν om. P ¦ εἰς πᾶν ῥεῦμα X **7** πρὸς ῥευματισμόν P | post εἰς add. πάντα X | κεφαλῆς om. X **8** Κεφαλικὸν πάνυ καλόν P | πρὸς P εἰς – κεφαλῆς] ἕτερον X | κεφαλῆς om. P **9** Κεφαλῆς ῥεῦμα ἀναξηραντικόν P | εἰς – κρανίου] ἄλλο X **10** πάσμα – δόκιμον] πόνον καὶ πρὸς ψύξεις ἐπίθεμα P | πάνυ δόκιμον] ἕτερον X **11** πάσμα – ῥεύματα] ἄλλα εἰς ψύξιν P | εἰς – ῥεύματα] ἄλλο X **12** ιʹ deest P **13** ιαʹ deest P **14** ιβʹ deest P | εἰς κεφαλαλγίαν] ἕτερον X **15** ιγʹ deest P | εἰς – διαθέσεις] ἄλλο X **16** ιδʹ deest P | πάνυ θαυμαστόν] ἕτερον X **17** ιεʹ deest P | πάνυ ἐπαινετόν] ἄλλο X

Ἀρχὴ σὺν Θεῷ Ἁγίῳ, ἐκ τοῦ κ΄ στοιχείου

περὶ Κρανιακῶν πασμάτων σκευασιῶν

Ἐκ τῶν τοῦ κ΄ στοιχείου· κρανιακὰ πάσματα δόκιμα

α΄ Κρανίου πάσματα, ἀναξηραντικά· θαυμαστά· ἔχει: 1

Ἐρείκης καρποῦ· σχοίνου ἄνθος· κηκῖδος· σαμψύχου, ἀνὰ οὐγγ α΄· ξυλοβάλσαμον· κόστου· ἴρεως, ἀνὰ λίτρ ἥμισυ· κόψας ταῦτα καὶ σήσας ὡς χνοῶδες· προλούσας τὴν κεφαλήν· ὕστερον ἐπίπασσε ἄνωθεν ὡς ἄλφιτα.

β΄ Κρανίου πάσμα, πάνυ δόκιμον· ἔχει: 2

Κηκῖδος· ἴρεως· σχοίνου ἄνθος· βαλαυστίων· ἐρείκης καρποῦ· σιδίων, ἀνὰ οὐγγ β΄· τρίψας ταῦτα ὡς χνοῶδες, ἐπίπασσε ἄνωθεν τὴν κεφαλήν· χρῶ.

γ΄ Κρανίου πάσμα, ἀναξηραντικὸν δόκιμον· ἔχει: 3

Ἀλόην ξανθήν· τρίψας ὡς χνοῶδες, δεῦσον μετὰ οἴνου ἐρυθροῦ αὐστηροῦ καὶ χλιάνας, ἐπίθες κατὰ τῆς κεφαλῆς· προλούσας δὲ τὸν πάσχοντα· ἔχων δὲ τὸν λουτρόν, ταῦτα· ἀψίνθιον· σχοίνου ἄνθος· κλημάτων στάκτην· σάμψυχον· ἐλελίσφακον· χαμαίμηλα· τῆλιν· δενδρολίβανον· στοιχάδος ῥόδα· βράσον ταῦτα, μεθ’ ὕδατος εἰς ἀποτρίτωσιν· ἔπειτα λοῦε τὴν κεφαλὴν τοῦ πάσχοντος χλιαρά· μετὰ δὲ τοῦτο, ἐπίθες ἄνωθεν τὴν ἀλόην μετὰ τοῦ οἴνου· ἔστι δὲ πάνυ δόκιμον, πρὸς ψυχρὰς διαθέσεις· χρῶ.

---

**0 , 1** Πίναξ L | Ἀρχὴ – 3 δόκιμα om. P X ¦ ἐκ τῶν τοῦ κ΄ στοιχείου ἀρχομένων, ἀρχὴ τῶν περὶ κρανικῶν sic. πασμάτων σκευασιῶν L | ἐκ – στοιχείου om. L **2** περὶ] τῶν L **1, 1** ἀναξηραντικὸν X | θαυμαστά om. P X | ἡ σύνθεσις X ¦ om. L **2** σχοινάνθης X ¦ ἄνθους σχοίνου L | ξυλοβαλσάμου X L **3** κόψας ταῦτα transp. L κόψας – ὡς] τρίψας X | ταῦτα om. P | post καὶ add. ποιήσας L | καὶ σήσας post χνοῶδες L | ὡς – προλούσας om. P | προλοῦσον add. τὸν πάσχοντα L | post τὴν – 4 κεφαλήν add. αὐτοῦ post ἄλφιτα L | τὴν – 4 ἐπίπασσε transp. P **4** ὕστερον om. P X ¦ εἶτα L | ἐπίπαττε add. ταῦτα L | ἐν λουτρῷ.- P ¦ om. X | post ἄλφιτα add. ἐπὶ X **2, 1** β΄] sine numero P | Κρανιακοῦ L | Κρανίου – ἔχει] Ἄλλον P | ἡ σύνθεσις X **2** ἴρεως om. L | σχοινάνθης X ¦ ἄνθους σχοίνου L | βαλαυστίου L ¦ βαλαύστια P | ἐρείκης καρποῦ transp. L | σίδια P **3** τρίψας – κεφαλήν om. P | ταῦτα ὡς om. X | καὶ ποιήσας L | ἐπίπαττε L | ἄνωθεν om. X | χρῶ om. X L **3, 1** γ΄ sine numero P | anteΚρανίου add. Ἄλλον P | ἀναξηραντικὸν – ἔχει om. P | ἄλλο X | ἔχει om. X L **2** ξανθήν om. X | τρίψας – δεῦσον] ἀναλαβὼν λείωσον P | ὡς] καὶ ποιήσας L | ὡς χνοῶδες om. X | μετ’ P X | ἐρυθροῦ αὐστηροῦ transp. X | αὐστηροῦ – 3 χλιάνας] στύφου P **3** ἐπίθες – λουτρόν] καὶ μετὰ τὸ λοῦσαι τὴν κεφαλὴν ἐπίπασσε τοῦτο κατὰ τοῦ φλέγματος.- P | προλούσον X ¦ πρότερον λουσθέντος L | τοῦ πάσχοντος post κεφαλῆς L | τὸν[1] – λουτρόν] βράσας X | τὸν λουτρόν] τὸ ὕδωρ μέλι λουθῆναι L **4** ταῦτα – 7 χρῶ om. P | ἀψινθίου X | σχοινάνθης X ¦ ἄνθους σχοίνου L | κλημάτων στάκτην transp. L | στακτῆς X σαμψύχου X | ἑλελισφάκου X **5** ῥόδων X | βράσον ταῦτα om. X ¦ transp. L | μετὰ τοῦ L | μεθ’ – 6 ἀποτρίτωσιν post ταῦτα X **6** ἔπειτα om. L | ἔπειτα – 7 πάνυ om. X | χλιαρά om. L | τοῦ τοιοῦτου ὕδατος L ἐπιτίθει L **7** τὴν ἀλόην] τὴν μετὰ τοῦ οἴνου σκευασθεῖσαν ἀλόην καὶ θεραπευθήσεται post οἴνου L | τοῦτο L post δόκιμον add. γὰρ X | χρῶ om. X L

4 δʹ Κρανίου πάσμα, ἀναξηραντικόν, ἐπὶ πάντα ῥευματισμόν, πάνυ δόκιμον· ἔχει:

Ζογχοῦ τοῦ εὐωδιάζοντος· λαδάνου καθαροῦ· νίτρου ἐρυθροῦ, κεκαυμένου· ἐκ τῶν ἀποκοπῶν τῆς νάρδου· ῥόδων ἐρυθρῶν· μυρσίνης ξηρᾶς, κεκαυμένης· κηκίδων, ἀτρυπήτων· σχοίνου ἄνθος· κασίας· ξυλοβαλσάμου· κυπέρου, ἀνὰ σταγίων γʹ· στυπτηρίας στάγ βʹ· ταῦτα πάντα τρίψας ὡς χνοῶδες καὶ προλούσας τὸν πάσχοντα, ὕστερον ἐπίπασσε ἄνωθεν τὴν κεφαλὴν ταῦτα· ἐξυρισμένη δὲ ἔστω, ἡ κεφαλή καὶ οὕτως ἐπίπασσε ἐξ αὐτῶν, ὅσον σταγ γʹ· χρῶ.

5 εʹ Κρανίου πάσμα, ἀναξηραντικόν, ἐπὶ πάντα πόνον τῆς κεφαλῆς· πάνυ θαυμαστόν· ἔχει:

Ἐρείκης καρποῦ· κηκίδιν· σχοίνου ἄνθος· σαμψύχου· κόστου, ἀνὰ οὐγγ αʹ· ἴρεως· ξυλοβαλσάμου, ἀνὰ οὐγγ ἥμισυ· μόσχον· στάγ αʹ· κόψας καὶ σήσας ταῦτα ὡς χνοῶδες, προλούσας τὴν κεφαλὴν τοῦ πάσχοντος, ὕστερον ἐπίπασσε ἐξ αὐτῶν ἄνωθεν· χρῶ.

6 ςʹ Κρανίου πάσμα, ἀναξηραντικόν, πρὸς πᾶν ῥεῦμα κεφαλῆς, πάνυ ὠφέλιμον· ἔχει:

Κηκίδιν· ἴρεως· σταφίδας ἀγρίας, ἀνὰ οὐγγ βʹ· ἀριστολοχίας μακρᾶς· σχοίνου ἄνθος· ἐρείκης καρποῦ· μαστίχην· κυμίνου, ἀνὰ οὐγγ αʹ· ἅλατος κοινοῦ, οὐγγ ἥμισυ· τρίψας ταῦτα ὡς χνοῶδες, προλούσας τὴν κεφαλὴν τοῦ πάσχοντος, ἐπίπασσε αὐτὰ ἄνωθεν· δίδου δὲ καὶ λιβάνου ἄρρενος καταπιεῖν ὁ νοσῶν ἀπερχόμενον εἰς ὕπνον ἑσπέρας· ὅσον κοκκία γʹ ἢ εʹ· ταχέως γὰρ, ἀναστέλλει τὸ ῥεῦμα καὶ πέψιν χρηστὴν στομάχου ἐργάζεται· χρῶ.

---

**4, 1** δʹ] βʹ P | εἰς πᾶν ῥεῦμα X | πάνυ δόκιμον om. P X | ἡ σύνθεσις X **2** Σογχοῦ P ¦ Ζόχου X | καθαροῦ om. X **3** ἀκόπων X | post ἐρυθρῶν add. κεκαυμένων P | post κεκαυμένης add. καὶ σεσεισμένης P **4** σχοινάνθης X ¦ ἄνθους σχοίνου L | post γʹ add. μόνον δὲ τῆς P **5** post στυπτηρίας add. ἔμβαλε ὅσον P ¦ add. σχιστῆς X ταῦτα πάντα om. X | ταῦτα – χνοῶδες] κόψας καὶ σείσας πᾶντα ὁμοῦ λείας καλῶς P | ὡς] καὶ L | post χνοῶδες add. ποιήσας L | τὸν – 6 ὕστερον om. P X **6** ἐπίπαττε L | ἄνωθεν om. P X | ταῦτα om. X ¦ ἀπὸ τούτων L | ταῦτα – 7 αὐτῶν] κατὰ τοῦ βρέγματος P | ἐξυρισμένη – ἔστω transp. L | δὲ – 7 ὅσον om. X καὶ – 7 αὐτῶν om. L **7** ὅσον – γʹ post ταῦτα L | χρῶ om. X L ¦ καὶ σφακιώσας ἔασον.- P **5, 1** εʹ] γʹ P | εἰς X L | τῆς – θαυμαστόν om. P X | δόκιμον καὶ L **2** ἡ σύνθεσις X **3** Ἐρείκης καρποῦ transp. L | σχοινάνθ[ης] X ¦ ἄνθους σχοίνου L | αʹ] ἥμισυ P **4** οὐγγ] ἐξάγ αʹ καὶ P | μόσχου P X L | αʹ] ἥμισυ P | post κόψας add. ὁμοῦ P | κόψας – ὡς] τρίψας X | ταῦτα – 5 ὕστερον om. P | ὡς] ποιήσας L **5** κατὰ τῆς κεφαλῆς post ἐπίπασσε L τὸν κάμνοντα L | τοῦ – ὕστερον om. X | ἐπίπαττε L | ἐξ – χρῶ] κατὰ τοῦ βρέγματος τῆς κεφαλῆς.- P ¦ om. X ¦ αὐτοῦ ταῦτα L **6, 1** ςʹ] δʹP | πάσμα om. P | ἀναξηραντικόν post ῥεῦμα P | εἰς πᾶν πόνον L | πρὸς – ὠφέλιμον] ἕτερον X | πᾶν om. P | κεφαλῆς – ὠφέλιμον om. P | δόκιμον καὶ θαυμαστόν· L | ἡ σύνθεσις X **2** κηκῖδος P L | σταπίδος ἀγρίας P ¦ σταφίδων ἀγρίων L | σχοινάνθ[ης] X ¦ ἄνθους σχοίνου L **3** ἐρείκης καρποῦ transp. L | μαστίχης L | κοινοῦ om. X | οὐγγ[2]] ἐξάγ αʹ καὶ P **4** ταῦτα ὡς om. X | ὁμοῦ καλῶς καὶ P καὶ ποιήσας L | τῆς κεφαλῆς post ἐπίπασσε P | τοῦ πάσχοντος om. P X | post ἐπίπασσε add. κατὰ P | αὐτὰ ἄνωθεν om. P X **5** ἄρρενος om. X | post καταπιεῖν add. τὸ λίβανον P | ὁ νοσῶν om. P X | τῷ νοσοῦντι ἑσπέρας ἀπερχόμενων εἰς κοίτην· post δὲ L | ἀπερχόμενον ἑσπέρας εἰς ὕπνον post δὲ P | κοίτην X | ἑσπέρας ὅσον om. X | ὅσον – 6 εʹ post ἄρρενος L **6** post κοκκία – εʹ add. εἶτα μετὰ post ἄρρενος P | ταχέως – 7 χρῶ] ὑπνῆσαι P ¦ πέψιν γὰρ στομάχου ταχέως ἐργάζεται τοῦτο χρηστήν καὶ τὸ ῥεῦμα ἀναστέλλει.- L | γὰρ om. X **7** χρῶ om. X

ζʹ Κρανίου πάσμα, ἀναξηραντικόν· ἔστι δὲ πάνυ θαυμαστόν, πρὸς ῥευματισμὸν 7
κρανίου, χρώμενον τὸ τοιοῦτον ἐν βαλανείῳ· ἔχει:

Κόστου· κηκῖδος· μαράθρου τῶν φύλλων· ναρδοστάχυος· ἴρεως· νάρδου Κελτικῆς· ῥόδων ξηρῶν, ἀνὰ οὐγγ αʹ· κασίας· ἀλόης ξανθῆς, ἀνὰ οὐγγ ἥμισυ· κόψας ταῦτα ὡς χνοῶδες, προλούσας τὴν κεφαλὴν τοῦ πάσχοντος, ἐπίπασσε ὕστερον ἄνωθεν ταῦτα, ὡς ἄλφιτα χρῶ.

ηʹ Κρανίου πάσμα, ἀναξηραντικόν, πάνυ ἐπαινετόν· ἐπὶ πάντα ῥεύματα· τὰ ἀπὸ 8
καταρρέοντα ἐκ τοῦ ἐγκεφάλου, εἰς τὸν στόμαχον ἢ πρὸς φάρυγγα ἢ στῆθος ἢ στόμα ἢ οὖλα ἢ πρὸς ἕτερόν τι μέρος τοῦ σώματος· τοῖς δι᾽ ὑγρότητα, πλείστην φερόμενα· ἔχει:

Νᾶπυ σταφίδος ἀγρίας· σαμψύχου· κοκκοδάφνης· θείου ἀπύρου· ἀδάρκης, ἀνὰ οὐγγ αʹ· νίτρου ὀπτοῦ· κόπρον ξηρὸν περιστερᾶς, οὐγγ δʹ· ταῦτα πάντα τρίψας ὡς χνοῶδες, προλούσας τὴν κεφαλὴν τοῦ πάσχοντος ἐν βαλανείῳ, ὕστερον ἐπίπασσε αὐτὰ ἄνωθεν· χρῶ.

θʹ Κρανίου πάσμα, ἀναξηραντικόν, ἐπὶ πάντα ῥεύματα, τὰ κατερχόμενα ἐκ τῆς 9
κεφαλῆς· πάνυ δόκιμον ὡς τὸ πρὸ τούτου· ἔχει:

Σίδια· βαλαύστια· σχοίνου ἄνθος· ῥόδα· μυρσίνην· κυπέρου· κυμίνου· στροβίλων σφαιρία· κυπαρίσσου σφαιρία· κηκίδων· δαφνοφύλλων· δενδρολίβανον· βάτου, τῶν ῥιζῶν· ἐλαίας φύλλα τὰ ἁπαλά· στοιχάδος· ἀλισφάκου· ταῦτα πάντα βράσον μεθ᾽ ὕδατος γλυκέος εἰς ἀποτρίτωσιν καὶ λαβὼν ἐξ αὐτοῦ τοῦ ὕδατος, λοῦε χλιαρὸν τὴν κεφαλὴν τοῦ πάσχοντος· εἶτα, λαβὼν ἀλόην ξανθήν, οὐγγ ἥμισυ· λιβάνου ἄρρενος καὶ μαστίχην, ἀνὰ ἐξαγ τέταρτον· τρίψας ταῦτα ὡς χνοῶδες, ὕστερον ἐπίπασσε ἄνωθεν τὴν κεφαλήν.

---

**7, 1** ζʹ] εʹ P | πάσμα – πρὸς om. P | ἔστι – θαυμαστόν om. L | ἔστι – 2 τοιοῦτον] ἄλλο, χρῶ X | post ῥευματισμὸν add. αὐτοῦ τοῦ L **2** κρανίου – τὸ om. P | χρῆσθαι L | post βαλανείῳ add. χρώμενον πάνυ καλόν· P | ἡ σύνθεσις X **3** μαράθρου – φύλλων transp. L **4** om. P | om. X | κόψας – ὡς] τρίψας X | ταῦτα – 5 πάσχοντος] καὶ σήσας P | ὡς] καὶ ποιήσας L **5** τοῦ πάσχοντος om. X | ἐπίπασσε ὕστερον transp. L ὕστερον – 6 χρῶ] τὸ κρανίον, προλουσάμενον.- P X | ἄνωθεν post ἄλφιτα L **6** χρῶ om. L **8, 1** Κρανίου πάσμα]Ἕτερον P | post πάνυ add. ὠφέλιμον καὶ L | πάνυ ἐπαινετόν om. P ¦ ἕτερον X | ἐπὶ] τοῦτο ποιεῖ εἰς X ¦ om. L | ἐπὶ – 3 φερόμενα post ἐπίπασσε 6 X | πᾶν P | ῥεῦμα P | τὰ – 2 καταρρέοντα om. P ¦ τὸ καταρρέον X **2** ἀπὸ τοῦ ἐγκεφάλου ῥέοντα L | ἀπὸ P X | post ἐγκεφάλου add. κατερχόμενον P | τὸν – 3 σώματος] οἷον τὸν τόπον· ἢ εἰς φάρυγγα γαργαρεῶνα, στήθους, πνεύμονα, στόμαχον, κύστιν, P | πρὸς] τὸν L | post ἢ[2] add. εἰς τὸ L | post ἢ[3] add. εἰς τὸ L | post ἢ[4] add. εἰς τὰ L **3** εἰς ἄλλο L | τοῖς om. X ¦ τὰ add. εἰς τὸ L | post πλείστην add. γινόμενα καὶ L | καταφερόμενα L | ἡ σύνθεσις X **4** Νάπυος X L | ἀγρίων L | post ἀπύρου add. πυρέθρου P X **5** αʹ] ἥμισυ P | ὀποῦ L ¦ add. οὐγγ αʹ καὶ ἥμισυ P | κόπρου ξηρᾶς X L | ξηρὸν περιστερᾶς transp. P | δʹ] βʹ P | ταῦτα πάντα om. X | ταῦτα – 6 πάσχοντος] κόψας ὁμοῦ λεῖα καὶ κοσκινίσας P | ὡς om. X ¦ καὶ ποιήσας L **6** τοῦ πάσχοντος om. X | ὕστερον om. X | ὕστερον – ἄνωθεν om. P ἐπίπαττε L | τοῦτο ποιεῖ X **7** χρῶ om. L **9, 1** Ἄλλον πρὸς τὰ αὐτά· ἰσοδύναμον, P | post ἀναξηραντικόν add. ἄλλο X | πᾶν τῶν L | εἰς πᾶν ῥεῦμα X | ῥευμάτων L | κατερχόμενον X | τῶν ἀπὸ ὑγρότητας τοῦ ἐγκεφάλου κατερχομένων L **2** πάνυ – τούτου om. X | ἡ σύνθεσις X **3** σχοινάνθ[ης] X | ῥόδων P | στροβίλων – 4 σφαιρία[1]] στροβίλου τοῦ καρποῦ ἢ στροβίλου ὅλου μικροτάτου κεκαυμένου P **4** κυπαρίσσου σφαιρία transp. P | κηκίδια L | δαφνόφυλλα L | λιβανοτίδος τῆς πόας P | ῥίζαν βάτου L | τῆς ῥίζης P X **5** φύλλα – ἁπαλά transp. L | ἁπαλῶν X | στοιχάδος – βράσον om. P | ἑλελισφάκου X | ταῦτα πάντα om. X | βράσας X μεθ᾽ X L ¦ σὺν P **6** γλυκέος add. βράσας P L ¦ om. X | καὶ – ὕδατος om. X | καὶ – 8 κεφαλήν] ἐν λουτρῷ περίχεε κατὰ τῆς κεφαλῆς.- P | χλιαρὸν – 7 πάσχοντος om. X **7** τρίψας X | ἀλόης ξανθῆς L | ξανθήν om. X ἄρρενος om. X | μαστίχης L **8** τρίψας – ὕστερον om. X | ὡς] καὶ ποιήσας L | post ὕστερον add. μετὰ τοῦ λουτρόν, L | ἄνωθεν – κεφαλήν om. X | post κεφαλήν add. τοῦ πάσχοντος.- L

10 ι´ Κρανίου πάσμα, ἀναξηραντικόν· θαυμαστόν· ἔχει:

Λαδάνου καθαροῦ· κυπαρίσσου, σφαιρία· ἑλενίου· βαλαυστίων· σαμψύχου· δαφνίδων· κηκίδων κεκαυμένων· σμύρνης· σιδίων· στάχος· ἁλὸς ἀμμωνιακοῦ· μυρσίνης· ταῦτα πάντα, θὲς ἐξίσου καὶ τρίψας ὡς χνοῶδες· προλούσας τὴν κεφαλὴν τοῦ πάσχοντος· ὕστερον, ἐπίπασσε αὐτὰ ἄνωθεν, ὡς ἄλφιτα χρῶ.

11 ια´ Κρανίου πάσμα, ἀναξηραντικόν· πρὸς πᾶν ῥεῦμα ἀπὸ κεφαλῆς κατερχόμενον· ἔχει:

Κηκίδιν· σίδια, ἀνὰ οὐγγ β´· ἀριστολοχίας μακρᾶς· σχοίνου ἄνθος· ῥόδων ξηρῶν· μυρσίνης, ἀνὰ οὐγγ α´· ἀλισφάκιν· δενδρολίβανον ξηρόν, ἀνὰ οὐγγ ἥμισυ· ταῦτα τρίψας ὡς χνοῶδες· προλούσας τὴν κεφαλὴν τοῦ πάσχοντος, ὡς ἄλφιτα, ἐξ αὐτῶν· χρῶ.

12 ιβ´ Κρανίου πάσμα, ἀναξηραντικόν· ὠφελεῖ, πρὸς κεφαλαλγίαν καὶ ψύξιν· θαυμαστόν· ἔχει:

Λαβὼν ῥοδέλαιον καὶ πηγανέλαιον· προλούσας τὴν κεφαλὴν τοῦ πάσχοντος ἐν βαλανείῳ, ὕστερον ἄλειφε ταῦτα τὴν κεφαλὴν χλιαρά· εἶτα μετὰ τὸ ἀλεῖψαι, ἐπίπασσε ἄνωθεν ταῦτα· οἷον· κυμίνου Ἑλλαδικοῦ· μαστίχην· ὠκίμου· τρίψας ὡς χνοῶδες, δεῦσον σὺν οἴνῳ παλαιῷ τὸ ἀρκοῦν ἢ ὀξυρροδίνῳ, ἐπιβρεχόμενον ἢ σὺν οἴνῳ ἐρυθρῷ ἢ ὕδωρ. ἐν ᾧ σίδηρος ἐναπεσβέσθη σὺν ῥοδίνῳ, ἐπιβρεχόμενον ἄνωθεν· χρῶ.

---

**10, 1** ι´] ς´ P | Κρανίου – θαυμαστόν] Κεφαλικὸν πᾶσμα πάνυ καλὸν πρὸς ῥεῦμα· P | ἕτερον X | ἡ σύνθεσις X **2** καθαροῦ om. P X | κυπαρίσσου σφαιρία transp. L | σφαιρία om. P ¦ σφαιρίων L | ἐλελισφάκου X **3** ζζ´´ P | στάχους L | post μυρσίνης add. ἀνὰ οὐγγ ἥμισυ P | ταῦτα – 4 πάντα om. X | ταῦτα – 4 καὶ om. P ταῦτα – 4 τρίψας] ἐξίσου ποσοῦ τρίψας ταῦτα πάντα L **4** θὲς ἐξίσου] ἀνὰ τὸν ἴσον X | καὶ om. X | ὡς om. X ¦ καὶ ποιήσας L | ὡς χνοῶδες] ὁμοῦ καλῶς ὡς P | τὴν – 5 ὕστερον om. P | τοῦ – 5 ὕστερον om. X **5** αὐτὰ ἄνωθεν] ταῦτα L | αὐτὰ – χρῶ] κατὰ τῆς κεφαλῆς P ¦ om. X **11, 1** ια´] ζ´ P | Κρανίου – κατερχόμενον] Κεφαλῆς ῥεῦμα ἀναξηραντικὸν P | post ἀναξηραντικόν add. ἄλλο X | παντὸς ῥεύματος L | πρὸς – κατερχόμενον post κεφαλὴν 4 X | πᾶν ῥεῦμα transp. X | κατερχομένου L | ἡ σύνθεσις X **2** Κηκίδων, σιδίων L | σιδίων X | β´] α´ P | σχοινάνθ[ης] X ¦ ἄνθους σχοίνου L **3** α´] ἥμισυ P | ἐλελισφάκου X | ἀλισφάκιν – ἥμισυ om. P | δενδρολιβάνου ξηροῦ X L | ταῦτα om. X | κόψας ὁμοῦ καὶ σήσας καλῶς χρῶ, προλουσάμενον.- P **4** ὡς[1] om. καὶ ποιήσας L | post κεφαλὴν add. ἐπίπασσε X | post πάσχοντος add. ὕστερον ἐπίπασσε ταῦτα L | ἐξ – χρῶ om. L **12, 1** ιβ´] η´ P | πάσμα – θαυμαστόν] πόνον καὶ πρὸς ψύξιν ἐπίθεμα πάνυ καλόν· P | ὠφελεῖ om. X ¦ ὠφελοῦν L | κεφαλαλγίαν – ψύξιν transp. X | θαυμαστόν om. X ¦ θαυμασίως L **2** ἡ σύνθεσις X ¦ om. L **3** Λαβὼν om. P X | Ῥοδίνου ἐλαίου add. μανδραγόρου ἐλαίου P ¦ ῥοδέλαιον X L Πηγάνου ἐλαίου add. ἀνηθίνου ἐλαίου P ¦ πηγανέλαιον X ¦ πηγανέλαιον add. ἕνωσον αὐτὰ καὶ L | προλούσας – 4 χλιαρά] μίξας ὁμοῦ καὶ καλῶς θερμάνας, ἄλειφε καθ’ὅλης τῆς κεφαλῆς ἐν λουτρῷ P | τοῦ πάσχοντος om. X **4** ὕστερον om. X | αὐτὴν ἀπὸ τούτων L | τὴν κεφαλὴν om. X | χλιάνας L | καὶ P L | μετὰ – ἀλεῖψαι om. X | ἐπίπαττε L **5** ἄνωθεν om. X | ἄνωθεν ταῦτα transp. P | αὐτῇ ταῦτα τὰ εἴδη L | οἷον om. X | κύμινον ἐλληνικόν· L | Ἑλλαδικοῦ om. X | ὤκιμον X L | τετριμμένα ἔχων L | τρίψας – χνοῶδες post οἷον L | ὡς om. X | ὁμοῦ καλῶς καὶ P | βεβρεγμένα L **6** σὺν[1]] μετ’ L | post οἴνῳ[1] add. καλῷ P | οἴνου παλαιοῦ add. ἢ ἐρυθροῦ L | ἐρυθρῷ X | τοῦ ἀρκοῦντος L | ἐπίπασσε ἄνωθεν κατὰ τῆς κεφαλῆς· ἡ δὲ βούλει ἐπίπασσε μεθ’ ὕδατος P | ἢ[1]] μετὰ L | ὀξυροδίνου L | ἐπιβρεχόμενον – ἐρυθρῷ om. X L | μεθ’ ὕδατος X L **7** post σίδηρος add. ζέον L | ἀπεσβέσθη.- X | σὺν – χρῶ om. P X L

ιγʹ Κρανίου πάσμα, ἀναξηραντικόν· πρὸς ἐπὶ ψυχρὰς διαθέσεις γενομένας· ἔχει: 13

Λαβὼν οἶνον ἐρυθρὸν στῦφον, ὅσον βούλει, ἔμβαλε ἐν αὐτῷ, κουμπέπες· γαρόφαλα, ἀνὰ ἐξάγ ἥμισυ· τρίψας ἔμβαλε ἐν τῷ οἴνῳ καὶ βράσας καλῶς, προλούσας τὴν κεφαλήν· ὕστερον, ἐπίχεε, τὸν τοιοῦτον οἶνον χλιαρὸν ἄνωθεν· εἶτα, λαβὼν ἀλόην ξανθὴν ἐξάγ αʹ· τρίψας ὡς χνοῶδες, δεῦσον ἐκ τοῦ ἄνωθεν οἴνου σὺν αὐτῷ τὸ ἀρκοῦν καὶ ἐπίθες κατὰ τοῦ βρέγματος τῆς κεφαλῆς· ἔπειτα, θὲς ἐπάνωθεν στυππεῖον καὶ σκεπάσας καλῶς, ἔασον· χρῶ.

ιδʹ Κρανίου πάσμα, ἀναξηραντικόν θαυμαστόν· ἔχει: 14

Λαδάνου καθαροῦ· σχοίνου ἄνθος· ἀλόης ξανθῆς· κουμπέπες· ταῦτα τρίψας καλῶς, δεῦσον μετ᾽ οἴνου καὶ ἐλαίου, τὸ ἀρκοῦν καὶ χλιάνας προλούσας τὴν κεφαλὴν τοῦ πάσχοντος, ὕστερον ἄλειφε κατὰ τῆς κεφαλῆς χλιαρόν· χρῶ.

ιεʹ Κρανίου πάσμα, ἀναξηραντικόν· ἔστι δὲ πάνυ θαυμαστόν, πρὸς πάντα ῥεύματα κεφαλῆς· ἔχει: 15

Ἀλόην ξανθήν· λάδανον καθαρόν, ἀνὰ οὐγγ ἥμισυ· βράσας μετ᾽ οἴνου ἐρυθροῦ καὶ ἐλαίου κοινοῦ τὸ ἀρκοῦν καὶ βράσας καλῶς· προλούσας τὴν κεφαλήν, ὕστερον ἄλειφε ἐξ αὐτοῦ χλιαρόν· ἔστι γὰρ δόκιμον καὶ ἐπωφελές· χρῶ.

---

**0, 1** Ἀρχὴ – 2 σκευασιῶν om. P **3** post Τὴν add. διὰ L | στοιχείου[1] om. X ¦ | πραγματείαν X L | post διεξελθόντες add. ἀρίστως P ¦ διελθόντες X ¦ πληρώσαντες L | post δεῦρο add. δεῖ P | εἰς L | στοιχείου[2] om. X L | στοιχείου διαδρομήν] ἔλθωμεν καὶ τὰς ἀπ᾽ αὐτοῦ ἀρχομένην τῶν ἰάσεων σκευασία ἐκθέσωμεν καὶ κατ᾽ἐπιδρομὴν καὶ τούτων ἑξῆς L **4** διαδρομήν om. P | post ἀκολουθίαν add. διαδραμῶντες τὴν θεραπείαν P post ποιήσωμεν add. καὶ τούτην τὴν πραγματείαν δηλώσωμεν· πρὸς τέρψιν καὶ ἀσφάλειαν τῶν ἐντυγχανόντων ὡραῖον γράμμα καὶ τερπνὸν τοῖς ὁρῶσιν· οἱ τῶν στοιχεῖων ἐφ᾽ ἑξῆς σύνθεσις· P | ὧν ἐν P ¦ ἐν αἷς L | πρώτοις P | πρώτη ἐτάχει ἡ ληξοπύρετος σκευασία· ἡ καὶ L | τὴν ὀνομασίαν ληξοπυρέτου ποιοῦμεν: P ¦ **5** ἡ σύνθεσις X ¦ ὀνομαζομένη L **1, 1** Ληξοπύρετος P ¦ add. σκευασία, ἡ καλουμένη L | Ληξοπύρετον – ἔχει om. X **2** Κρόκου L | χαμαιμήλων P L | α΄[2]] α΄ καὶ ἥμισυ P **3** καθαροῦ om. P X | ῥοδελαίου X | ἐλαίου om. P μελιλώτου L **4** λινοσπόρου χυλόν transp. X L | χυλοῦ P | ταῦτα πάντα om. P | ταῦτα – 5 χρῶ] ὠφελεῖ ἄκρως πυρέττοντας. X | πάντα om. L | καλῶς om. P | καλῶς – 5 δὲ[2]] χρῶ, τοῦτο P **5** ὠφελεῖ – ἄκρως] τοῖς L | post ἄκρως add. βοηθεῖ P | χρῶ om. P ¦ καὶ θεραπευθήσονται. L **2, 1** post ἐπίρρημα add. δόκιμον L ἐπίρρημα – πείρας] τὸ διὰ στρύχνου X | ἡ σύνθεσις X **2** Στρύχνου χυλόν transp. L | χυλόν[1]] χυλοῦ P L ¦ om. X | κολοκύνθης χυλόν transp. L | χυλόν[2]] τοῦ χυλοῦ P | λίτρ] ξέστας P | κιρρὰ P | ῥοδελαίου X | ῥοδίνου – 3 δ΄ om. L **3** ἐλαίου[2] om. X | ἀνὰ – δ΄] ἴσα P | ὁμοῦ – 4 καλῶς om. X | ταῦτα πάντα transp. L | ταῦτα – 4 καλῶς] καὶ ἀνακόψας ἐπιμελ[ῶς] P **4** ῥίπτε X | ἐν ὀθονίῳ P | ὀθόνιον ἔσωθεν transp. L | ἔσω P | καὶ χρῶ P | διά συνεχῶς om. X | διά – χρῶ] καὶ τίθει ἐπὶ τοῦ πυρέσσοντος τόπου συχνῶς ἐναλλάσσων. L | ἄλλασσε X | ἔστιν γὰρ] ὡς P | ἔστιν – χρῶ] συχνῶς X | χρῶ] διὰ πείρας P **3, 1** πάνυ καλὸν om. P | πάνυ – ἔχει om. X **2** τῶν φύλλων post σελίνου P | χλωρά post φύλλα X | χλωρά – 3 πάχος] κόπτε καλ[ῶς] P | ταῦτα – 3 κηρωτῆς] ὡς γλοιοῦ X | καλῶς L | ὥστε – 3 πάχος post ἐπιμελῶς 4 P **3** καὶ[1]] εἶτα P | καὶ πρόσπλεξον] ἔμβαλε ἐν αὐτοῖς L | πρόσθες X | καθαροῦ om. X ¦ add. τοῦ ἀρκοῦντος | post βεβρεγμένου add. ἐν L ψυχρῷ X L | post λεῖε add. ἀμφότερα P ¦ λείου X ¦ λείωσον L

ἐπιμελῶς· εἶθ΄ οὕτως, πρόσμιξον, ῥοδίνου ἐλαίου τὸ ἀρκοῦν καὶ λειώσας ταῦτα πάντα ἐπιμελῶς, ἐπίπλασσε ῥάκι· χρῶ.

4 δ΄ Ληξοπύρετον, πάνυ θαυμαστόν, ἔχει:

Κρόκον, οὐγγ ἥμισυ· λιθάργυρον· ῥοδίνου ἐλαίου· στέατος χοιρείου, προσφάτου, ἀνὰ οὐγγ γ΄· κηροῦ καθαροῦ, οὐγγ β΄ καὶ τέταρτον· λινοσπόρου χυλόν, οὐγγ ἥμισυ καὶ τέταρτον· μέλιτος Ἀττικοῦ, οὐγγ α΄· λείωσον τὸν κρόκον καὶ τὸν λιθάργυρον, μεθ' ὕδατος καὶ ἀναλάμβανε ψυχρῇ τῇ κηρωτῇ καὶ χρῶ, ὡς ἀνωτέρω, εἴρηται, χρῶ.

5 ε΄ Λειχήνων ἀγρίων, ἴασις· σφόδρα· καλά· ἔχει:

Ἀσφοδέλου ῥίζαν· θείου ἀπύρου· μάννης, ἀνὰ οὐγγ α΄· τρίψας καλῶς, δεῦσον σὺν ὄξει δριμυτάτῳ ποιῶν πάχος, ἐπίχριε· χρῶ.

6 ς΄ Λειχηνικόν, πρὸς ἁπαλοὺς χρῶτας· δόκιμον· ἔχει:

Λινόσπερμα· κόψας καὶ σήσας λεπτότατα, δεῦσον μετ΄ ὄξους δριμυτάτου· ὥστε γενέσθαι γλοιῶδες καὶ ἐπίχριε σὺν πτερῷ ἄνωθεν χρῶ.

7 ζ΄ Λειχηνικὸν ἐπίχρισμα, πάνυ καλόν· ἔχει:

Λίβανον· κομμίδιν, ἀνὰ ἐξαγ α΄· τρίψας καλῶς δεῦσον αὐτὰ μετ΄ ὄξους δριμυτάτου· ὥστε γενέσθαι γλοιῶδες πάχος καὶ ἐπίχριε· προεκνιτρώσας δέ, πρῶτον τὸν τόπον καὶ οὕτως χρῶ.

---

**4** ἐπιμελῶς om. X | εἶθ΄ – πρόσμιξον] εἶτα ἐμβαλὼν ἐν αὐτοῖς L | οὕτω X | μῖξον X | ῥοδίνου ἐλαίου transp. P ¦ ῥοδελαίου X | τοῦ ἀρκοῦντος P | πάλιν L | λείωσον L | καλῶς L | τὸ πᾶν P | ταῦτα – 5 ἐπιμελῶς om. X **5** ἐπιμελῶς om. L | ἐπίπαττε add. ἐν L | ῥά[κιν] P X | post χρῶ add. συνεχῶς ἐμπλάσας. P ¦ καὶ ἄλλασσε συχνῶς. X **4, 1** post Ληξοπύρετον add. ἄλλο L | πάνυ θαυμαστόν] καλὸν διὰ πείρας P ¦ τὸ διὰ λιθαργύρου X ἡ σύνθεσις X **2** Κρόκου L | λιθαργύρ<ου> add. οὐγγ γ΄ P ¦ λιθαργύρου L | ῥοδίνου ἐλαίου transp.; add. οὐγγ γ΄ P ¦ ῥοδελαίου X | χηνίου P | νεαροῦ P **3** κηροῦ – τέταρτον post λιθάργυρον P | καθαροῦ om. P X | καὶ τέταρτον[1]] ἐξάγ α΄ καὶ ἥμισυ P | λινοσπόρου – 4 τέταρτον om. L | τοῦ χυλοῦ P X | οὐγγ[3] – 4 τέταρτον] ἐξάγ δ΄καὶ ἥμισυ P ¦ **4** Ἀττικοῦ om. P X | λειώσας P | τὸν[2]] τὴν L | ἐν P ¦ μεθ' X L **5** ψυχρᾷ L | post ὡς add. ἐπὶ τῇ L | ἄνω X ¦ add. σκευασία L | χρῶ[2] om. ; postea novum capitulum περὶ Λειχήνων P ¦ om. X L **5, 1** ε΄] α΄ P | σφόδρα καλά om. P X | καλή L | ἔχει ἡ σύνθεσις X **2** ῥίζαν ῥίζης P X L | μάννης μάννητος L | post τρίψας add. ταῦτα L | τρίψας – δεῦσον om. P | καλῶς δεῦσον om. X | μετ' ὄξους L **3** δριμυτάτου add. καὶ L | ποιήσας add. ὡς γλοιοῦ P ¦ ποιήσας add. ὡς L | ποιῶν πάχος om. X | post πάχος add. γλοιοῦ L | χρῖε. X | χρῶ om. P X L **6, 1** post Λειχηνικόν add. ἐπιχριόμενον L | δόκιμον om. P | δόκιμον ἔχει om. X **2** Λινοσπόρου add. τὸ ἄλευρον P ¦ Λινόσπορον X | post κόψας add. καλῶς L | κόψας – δεῦσον] ἀναλαβὼν ἐπίβαλε P | καὶ om. X | λεπτότατα om. X L | ὄξους post δριμυτάτου P | post δριμυτάτου add. μάλαξον L ὥστε – 3 γλοιῶδες] καὶ ποιήσας ὡς γλοιοῦ πάχος P ¦ ὡς γλοιὸν X **3** γλοιῶδες – χρῶ] εἰς γλοιοῦ πάχος εἶτα λαβὼν πτερὸν καθαρόν, ἐπίχριε ἄνωθεν τὰς λειχῆνας καὶ ἰαθήσονται. L | ἀναλάμβανε πτερῷ· ἐπίχριε ὡς δόκιμον.- P | χρῖε X | ἄνωθεν χρῶ om. X **7, 1** post Λειχηνικὸν add. ἄλλο L | ἐπίχρισμα πάνυ om. P | πάνυ – ἔχει] τὸ διὰ λιβάνου P | post καλόν add. τὸ διὰ λιβάνου L ¦ | λαβὼν L **2** κόμμεως P ¦ κομμιδίου add. ἀραβικοῦ L | οὐγγ P | τρίψας – αὐτὰ om. P ¦τρῖψον ταῦτα εἰς λεπτότατα, εἶτα βρέξον L | καλῶς – αὐτὰ om. X | σὺν ὄξει P ¦ μετ' ὄξου L ¦ | δριμυτάτῳ P ¦ add. καὶ μάλαξον **3** ὥστε – γλοιῶδες] λεάνας ὡς ἔχει κηρωτῆς P | ὥστε – πάχος] ὡς γλοιόν X | γλοιοῦ L | καὶ[1]] εἶτα L | χρῖε X ¦ post τόπον L | δέ πρῶτον om. P | πρῶτον – τόπον transp. X L | καὶ[2] – 4 οὕτως om. P | καὶ[2] – 4 χρῶ om. X ¦ ἢ καὶ πρωτοστάκτην ἐπίχριε. L **4** post χρῶ add. τοῦτον ὡς δόκιμον· διὰ πείρας.- P

η´ Λειχηνικὸν ἐπίχρισμα, πάνυ ἐπαινετόν· ἔχει: 8

Ἀγριοδαύκου τὸν ζωμὸν καὶ σκόροδα καθαρά· τρίψας σὺν ἅλατι ὀλίγῳ δεύσας ταῦτα ἄμφω καὶ ἐπίχριε ἄνωθεν· προεκνιτρώσας πρῶτον τὸν τόπον ἢ πρωτοστακτήν· ἐπίχριε.

θ´ Λειχηνικὸς τροχίσκος, δεδοκιμασμένος· ἔχει: 9

Λιβάνου ἄρρενος· θείου ἀπύρου· ἀσφοδέλου ῥίζης, ἀνὰ οὐγγ ἥμισυ· τρίψας ταῦτα καλῶς, ὡς χνοῶδες, δεῦσον σύν ὄξους δριμυτάτῳ τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, ἐπίχριε ἄνωθεν συχνῶς· χρῶ.

ι´ Λειχηνικὸν ἐπίχρισμα, ὡσαύτως καὶ ἐπὶ ἀλφῶν· ποιεῖ διὰ πείρας· ἔχει: 10

Στυπτηρίας σχιστῆς καὶ στρογγύλης, μίσυος· λιβάνου ἄρρενος· ἀσφοδέλου ῥίζης· χαλκίτεως· μελαντηρίου· ἀφρονίτρου· χαλκάνθης· θείου ἀπύρου· κόμμεως· λεπίδος χαλκοῦ, ἀνὰ γράμματα γ´· ξυστοῦ· κανθαρίδων, ἀνὰ γράμμα α´ καὶ ἥμισυ· τρίψας ταῦτα καλῶς, δεῦσον σκορπιούρου βοτάνης τοῦ χυλοῦ καὶ ὄξους δριμέος τὸ ἀρκοῦν καὶ μαλάξας ὡς γλοιῶδες γένεσθε, ἐπίχριε.

ια´ Λειχῆνας ὑγράς, ταῖς γινομέναις ἐν μέσω τοῖς μηροῖς καὶ ἐν ταῖς μασχάλαις, δόκιμον: 11

Λιθάργυρον, ὁλκὴν α´· θείου ἀπύρου· κιμωλίας, ἀνὰ ὁλκῆς ἥμισυ· τρίψας καλῶς, δεῦσον σὺν ῥοδίνῳ ἐλαίῳ καὶ οἴνου γλυκέος τὸ ἀρκοῦν καὶ σκευάσας ὡς γλοιῶδες, ἐπίχριε· χρῶ.

---

**8, 1** ἐπίχρισμα – ἐπαινετόν] καλὸν P | πάνυ – ἔχει] τὸ διὰ ἀγρίου δαύκου X | λαβὼν L **2** Ζωμὸν δαύκου ἀγρίου P ¦ Ζωμὸν ἀγριοδαύκου L | τὸν om. X | μετὰ P | σκορόδων P ¦ σκόρδα X | καθαρά om. P ¦ add. καὶ L | τρίψας om. P | καὶ ἅλατος add. μίξας P | ὀλίγῳ – 3 ἄμφω om. P | δεῦσον X L | ταῦτα – 3 ἄμφω om. X ¦ transp. L **3** ἐπίχριε post τόπον P | ἐπίχριε[1]] χρῖε X | ἄνωθεν om. X | πρῶτον om. P | πρῶτον – τόπον transp. X | post πρωτοστακτήν add. ὕδατος P **9, 1** δεδοκιμασμένος om. P | ἡ σύνθεσις X **2** ἄρρενος om. X post ἀσφοδέλου add. τῆς P | ἀσφοδέλου ῥίζης transp. L | ἥμισυ] α´ P | τρίψας – 3 δεῦσον om. P | ταῦτα – 3 δεῦσον om. X **3** ὡς] καὶ ποιήσας L | χνοώδη L | καὶ P ¦ μετ᾽ L | ὄξει X ¦ ὄξους L | δριμυτάτου τοῦ ἀρκοῦντος L | δριμυτάτῳ – 4 χρῶ om. P | τὸ – 4 ἄνωθεν] χρῖε X **4** χρῶ om. X L **10, 1** ἐπίχρισμα post ἀλφῶν P | ἐπίχρισμα ὡσαύτως] τροχίσκος ὁ αὐτὸς P | ὡσαύτως om. L | ὡσαύτως καὶ om. X | ποιεῖ – πείρας om. X ¦ δεδοκιμασμένον L | ἡ σύνθεσις X **2** ἀσφοδέλου ῥίζης transp. L **3** μελαντηρίας X L | ἀφροῦ νίτρου P **4** post γ´ add. ἰοῦ X | ξ[ε]στοῦ add. γράμμα α´ καὶ ἥμισυ P | ἀνὰ[2] om. P | τρίψας – 5 δεῦσον om. P | ταῦτα – 5 καλῶς om. X **5** μετὰ χυλοῦ σκορπίουορου τῆς βοτάνης L | τοῦ om. X | χυλῷ X | τοῦ ἀρκοῦντος L | τὸ – 6 ἐπίχριε] καὶ χρῖε. X | καὶ[2] – 6 ἐπίχριε om. P **6** post μαλάξας add. καλῶς καὶ ποίησας L | γένεσθε om. L post ἐπίχριε add. τὸν τόπον ὅλον ἄνωθεν τῆς λειχῆνος ἢ τῶν ἀλφῶν. L **11, 1** Λειχηνικαῖς P | Λειχῆναις ὑγραῖς S | θεραπεῦσαι τὰς X ¦ τὰς γινομένας L | γιγνομέναις P | μέσω om. X ¦ μέσοις L | ἐν ταῖς om. X **2** ἔχει: P ¦ ἡ σύνθεσις X ¦ θεραπεύει ἡ σκευασία αὔτη L ¦ **3** Λιθαργύρου L | τρίψας – 4 δεῦσον om. P | καλῶς – 4 δεῦσον om. X **4** δεῦσον om. P | καὶ ῥοδίνου ἐλαίου post γλυκέος P ¦ μετ᾽ ἐλαίου ῥοδίνου L | ῥοδελαίῳ X τοῦ ἀρκοῦντος L | καὶ[2] – 5 ἐπίχριε] παρ᾽ ἀλλήλων P | καὶ[2] – 5 χρῶ] χρῖε. X | post σκευάσας add. καλῶς καὶ ποιήσας L **5** ἄνωθεν L

12 ιβʹ Λειχῆνας καὶ ψώρας, διὰ πείρας γάρ ἐστὶν· ἔχει:

Ἀσφάλτου· θείου ἀπύρου· μάννης, ἀνὰ οὐγγ ἥμισυ· ἰοῦ, οὐγγ αʹ· κισσήρεως, οὐγγ ἥμισυ· τρίψας ταῦτα καλῶς, δεῦσον σὺν ὄξει δριμυτάτῳ τὸ ἀρκοῦν· ὡς γλοιῶδες γενέσθαι καὶ ἐπίχριε ἐν ἡλίῳ ἢ ἐν λουτρῷ· πάνυ γὰρ ἔστιν δόκιμον· χρῶ.

13 ιγʹ Λειχηνικόν, διὰ πείρας, πάνυ καλόν· ἔχει:

Θείου ἀπύρου· μυοχάδας, ἀνὰ ἐξαγ αʹ· τρίψας ὡς χνοῶδες, δεῦσον μετʹ ὄξους δριμυτάτου τὸ ἀρκοῦν· ὥστε γλοιῶδες γενέσθαι καὶ διάχριε ἄνωθεν, σὺν πτερῷ, ἕως ὑγιάσεις· χρῶ.

14 ιδʹ Λειχηνικόν, ἐπίχρισμα, διά πείρας· ἔχει:

Λιβάνου ἄρρενος· θείου ἀπύρου· ἰοῦ ξεστοῦ· σκορόδου κεφαλὴν αʹ· κεκαθαρμένην· κόμμεως, ἀνὰ οὐγγ ἥμισυ· τρίψας καλῶς ὡς χνοῶδες, δεῦσον σὺν ὄξει δριμυτάτῳ τὸ ἀρκοῦν· ὡς γλοιῶδες γενέσθαι καὶ ἐπίχριε ἄνωθεν, ἐπαλλάσσων συχνῶς· χρῶ.

15 ιεʹ Λειχηνικὸν ἐπίχρισμα, δεδοκιμασμένον· ἔχει:

Κόλλας τεκτονικῆς, ὁλκὰς δʹ· διαλύων σὺν ὄξει δριμυτάτῳ· εἶτα ἔμβαλε σὺν αὐτῷ, λιβάνου ἄρρενος· κεκομμένου ὡς χνοῶδες, ὁλκὰς βʹ· δεῦσον ἀμφότερα, ὡς γλοιῶδες γενέσθαι καὶ ἐπίχριε ἄνωθεν, ἐπαλλάσσων.

16 ιςʹ Λειχηνικὸν ἐπίχρισμα, πάνυ καλὸν καὶ δόκιμον· ἔχει:

Χαλκίτεως· κόμμεως, ἀνὰ ὁλκὰς δʹ· θείου ἀπύρου· μίσυος, ἀνὰ ὁλκὴν γʹ· λεπίδος χαλκοῦ· ἀκακίας, ἀνὰ ὁλκὴν αʹ· τρίψας καλῶς ὡς χνοῶδες, δεῦσον σὺν ὄξει δριμυτάτῳ, ὡς γλοιῶδες γενέσθαι καὶ ἐπίχριε συχνῶς· χρῶ.

---

**12, 1** διὰ – ἐστὶν] ἰᾶσαι X | διὰ – ἔχει] θεραπεύει ἡ σκευασία αὕτη L | γάρ ἐστὶν om. P | ἡ σύνθεσις X **2** μάννηντος L **3** τρίψας – δεῦσον om. P | ταῦτα καλῶς transp. L | ταῦτα – δεῦσον om. X | καὶ P | μετ᾽ ὄξους L | δριμυτάτου L | τοῦ ἀρκοῦντος add. καὶ μαλάξας καὶ ποιήσας L | τὸ – 4 ἐπίχριε] χρῖε X | ὡς – 4 ἐπίχριε] χρῶ P **4** γενέσθαι καὶ om. L | πάνυ – χρῶ om. P X L **13, 1** post Λειχηνικόν add. ἐπίχρισμα L | διὰ πείρας post καλὸν L | πείρας – ἔχει] θείου ἀπύρου. X | πάνυ καλόν om. P **2** μυοχάδος L | ἀνὰ – αʹ] ἐξίσου P | post τρίψας add. ταῦτα L | τρίψας – δεῦσον om. P | ὡς – δεῦσον om. X | χνοώδη L **3** δριμέος P | τοῦ ἀρκοῦντος L | τὸ – ἄνωθεν] χρῖε X | post ἀρκοῦν add. μαλάξας καὶ ποιήσας L | ἀρκοῦν – ἄνωθεν] λειώσας P | ὡς L | γενέσθαι καὶ om. L | ἐπίχριε L | σὺν] ἐν P | σὺν πτερῷ] διὰ πτεροῦ L | ἕως – 4 χρῶ om. X **4** ἄν ὑγιάνει ὁ νοσῶν. L | χρῶ om. P **14, 1** τροχίσκον P | διά πείρας] τὸ διὰ ἰοῦ ξυστοῦ X | post πείρας add. ὠφέλιμον L | ἡ σύνθεσις: X **2** ἄρρενος om. P X | κεκαθαρμένην om. P **3** post τρίψας add. ταῦτα L | τρίψας – δεῦσον om. P | post καλῶς add. καὶ ποιὴσας L | καλῶς – δεῦσον om. X | χνοώδη L | μετ᾽ ὄξους L | ὄξους P | δριμέος P ¦ δριμυτάτου L | τοῦ ἀρκοῦντος L | τὸ – 4 ἄνωθεν] χρῖε X **4** post ἀρκοῦν add. καὶ μαλάξας καὶ ποιήσας L | ὡς – συχνῶς om. P | γενέσθαι καὶ om. L | ἀλλάσσων X | ἐπαλλάσσων συχνῶς transp. L | χρῶ om. X L **15, 1** Τροχίσκος λειχηνικὸς P | διὰ πείρας P ¦ τὸ διὰ κόλας τεκτονικῆς X | ἔχει om. X **2** Κόλλης L διαλύων om. P ¦διαλυμένης L | σὺν[1]] μετ᾽ L | ὄξους P L | δριμυτάτου L | δριμυτάτῳ – 4 ἐπαλλάσσων] κοτύλει ἥμισυ τῷ ὄξει διαλύων· ἔγχριε ὡς δόκιμον.- P | εἶτα – αὐτῷ] πρόσθες X | ἐν αὐτοῖς L **3** ἄρρενος – χνοῶδες] τετριμμένου X | post κεκομμένου add. καλῶς L | χνοώδους L | post δεῦσον add. καὶ μάλαξον ἀμφότερα – 4 ἄνωθεν] χρῖε X | ὡς[2]] ὥστε L | γλοιῶδες – 4 γενέσθαι] transp. L **4** εἶτα L | ἀλλάσσων. X ¦ ἐπάλλασσε add. συχνῶς L **16, 1** Λειχηνικὸν – δόκιμον] Ἄλλον P | πάνυ – δόκιμον] τὸ διὰ θείου ἀπύρου X ἡ σύνθεσις: X **3** τρίψας – σὺν om. P | καλῶς – δεῦσον om. X | χνοώδη add. ποιήσας L | μετ᾽ L | ὄξους P L | δριμυτάτου add. καὶ μαλάξας καὶ ποιήσας L | δριμυτάτῳ – 4 συχνῶς om. P **4** ὡς – ἐπίχριε] χρῖε X γενέσθαι καὶ om. L | post ἐπίχριε add. τὴν λειχῆνα ἄνωθεν L | χρῶ om. X L

ιζʹ Λειχηνικὸν ἐπίχρισμαν θαυμαστόν· ἔχει: 17

Θείου ἀπύρου· ἀφρονίτρου, ἀνὰ ὁλκὰς βʹ· κάχρυος, κοκκία λʹ· λεῖε μετ᾽ ὄξους, ὡς γλοιῶδες· μόνον δὲ τὸν τόπον ἐν ὕδατι ψυχρῷ καὶ πάλιν ἐπίχριε ἄνωθεν· χρῶ.

ιηʹ Λειχηνικὸν ἐπίχρισμα, πάνυ ἐπαινετόν· ἔχει: 18

Ἑλλεβόρου λευκοῦ, ὁλκὰς δʹ· θέρμων ἄλευρον· κηρύκων κεκαυμένων· νίτρου, ἀνὰ χοινίκου αʹ· ξηρῶν μάσθω· ἀγρίους δὲ καλοῦσι λειχῆνας· τοὺς ὑπὸ μὲν, τῶν μετρίως ξηραινόντων, οὐδὲν ὀνιναμένους· ὑπὸ δὲ τῶν δριμέων παροξυνομένους, χρὴ οὖν ἐπὶ τούτων, φάρμακα παραλαμβάνειν· δραστήρια μὲν, ἱκανῶς· χωρὶς τοῦ δάκνειν ἰσχυρῶς· οἷον ἐστὶ τοῦτο· γλαυκίου· λιβάνου· ἀλκυονίου· θείου ἀπύρου· ἀσφάλτου· κόμμεως, ἀνὰ οὐγγ αʹ· τρίψας ταῦτα ὡς χνοῶδες, δεῦσον σύν ὄξει δριμυτάτῳ, τὸ ἀρκοῦν· ὥστε γλοιῶδες γενέσθαι καὶ ἐπίχριε ἄνωθεν· χρῶ.

ιθʹ Λειχηνικὸν ἐπίχρισμα, πάνυ καλόν· ἔχει: 19

Πίσσαν Ἀφρικανήν, λελειωμένην καλῶς· σὺν ὄξει ἑψήσας δριμυτάτῳ ἱκανῶς καὶ τὰ κερωθεῖσαν κατάχριε συχνῶς ἔστι γὰρ δόκιμον· χρῶ.

κʹ Λειχῆνας καὶ κνησμούς, πάνυ καλόν, ἔχει: 20

Χαλκάνθου· θείου ἀπύρου· λιβάνου ἄρρενος· νίτρου, ἀνὰ ἐξάγ αʹ· τρίψας ταῦτα ὡς χνοῶδες, δεῦσον σὺν ὄξει δριμυτάτῳ, ὡς λειῶδες γενέσθαι καὶ χλιάνας ἐπίχριε· χρῶ.

---

**17, 1** Λειχηνικὸν – θαυμαστόν] Ἄλλον P | τὸ διὰ ἀφρονίτρου X | ἡ σύνθεσις: X **2** ἀφροῦ νίτρου P | ὁλκὰς] δράμ P | λείου P ¦ ἀναλύσας add. ταῦτα L | λεῖε – 3 μόνον] τρίψας σὺν ὄξει, ἄλειφε μόνον τὸν τόπον, μηδὲν μολύνει τοῦ ἀπαθοῦς, ξηρανθὲν δέ, πλῦνον X | post ὄξους add. καὶ ποιήσας L | ὡς γλοιῶδες om. P ¦ add. ἐπίχριε L **3** post τόπον add. ἔγχριε μηδὲ μολύνων τοῦ ἀπαθοὺς ξηρανθὲν δὲ ἔκπλυνε P ¦ add. ὅσον περιέχει ἡ λειχὴν τὸν δὲ ἀπαθῆ τόπον, ὅρα ἵνα μὴ μολύνης ξηρανθὲν δὲ τὸ χρίσμα ἔκπλυνε τὸν τόπον L | ὕδατι ψυχρῷ transp. L | καὶ – χρῶ om. P | χρῖε X | ἄνωθεν χρῶ om. X | χρῶ om. L **18, 1** Λειχηνικὸν – ἔχει] Ἄλλον P πάνυ ἐπαινετόν] τὸ διὰ ἑλλεβόρου λευκοῦ· X | ἡ σύνθεσις X **2** θερμίνου P | θέρμων ἄλευρον transp. L ἀλεύρου P **3** χοινίκου recte χοίνικος | ξηροῦ L | ξηρῶν μάσθω om. X | post μάσθω add. δεῖ καὶ ἡδύνε· ὅτι P ¦ add. ἰστέον ὅτι L | καλοῦσι λειχῆνας transp. P L | τὰς L **4** ξηρανθέντων X | ἀνιεμένας L | παροξυνομένας L **5** λαμβάνειν X **6** ἐστὶ τοῦτο om. X | ἀπύρου om. P **7** τρίψας – σύν om. P | ταῦτα – δεῦσον om. X | ὡς] καὶ ποιήσας L | χνοώδη L | μετ᾽ ὄξους δριμυτάτου L | δριμυτάτῳ – 8 καὶ] ἀναλαβὼν P | τοῦ ἀρκοῦντος L | τὸ – 8 χρῶ] χρῖε. X | ὥστε] καὶ μαλάξας καλῶς καὶ ποιήσας L **8** γενέσθαι καὶ om. L | ἄνωθεν χρῶ om. P | χρῶ om. L **19, 1** Λειχηνικὸν – ἔχει] Ἄλλον P | πάνυ – ἔχει] τὸ διὰ ὄξους: X | ἔχει om. L **2** Πίσσαν om. P ἑψήσας δριμυτάτῳ transp. X ¦ δριμεῖ, ἕψησον L | δριμυτάτῳ ἱκανῶς om. P | post καὶ add. γενομένην L **3** κηρώσας X ¦ κερὰν L | χρῖε X | συχνῶς ἔστι] τοῦτο P | ἔστι – χρῶ om. X | χρῶ] ἐστὶ P ¦ om. L **20, 1** Λειχηνικὸν καλὸν καὶ πρὸς κνησμάρας P | πάνυ καλόν] παραδοξίου ἰᾶται· X ¦ παύει καὶ αὕτη ἡ σκευασία· L ἡ σύνθεσις X **2** λιβάνου – νίτρου] ὀροβίνου ἀλεύρου· θερμίνων, X | ἄρρενος om. P | τρίψας – 3 σὺν om. P ταῦτα – 3 δεῦσον om. X | ὡς] καὶ ποιήσας L **3** χνοώδη L | μετ᾽ ὄξους L | δριμυτάτου L | δριμυτάτῳ – ἐπίχριε] ἀναλαβὼν P | ὡς – χρῶ] χρῖε. X | γλοιῶδες L | χρῶ om. L

21 κα´ Λειχηνικὸν ἐπίχρισμα, δόκιμον· ἔχει:

Ἀμμωνιακοῦ· θείου ἀπύρου· ὀροβίνου ἀλεύρου καὶ θερμίνων, ἀνὰ οὐγγ α´· λειώσας ὡς χνοῶδες, δεῦσον σὺν ὄξει δριμυτάτῳ· ὥστε γλοιῶδες γενέσθαι καὶ ἐπίχριε ἄνωθεν συχνῶς· χρῶ.

22 κβ´ Λειχηνικὸν ἐπίχρισμα, ἀπαράβατον· ἔχει:

Χαλκάνθου· νίτρου· μίσυος· θείου ἀπύρου· χαλκίτεως· ἀλκυονίου κεκαυμένου· λιβάνου ἄρρενος· ἄγνου σπέρμα· ἀμμωνιακοῦ θυμιάματος, ἀνὰ οὐγγ ἥμισυ· γλαυκίου, ἐξαγ δ´· τρίψας ταῦτα ὡς χνοῶδες, δεῦσον σὺν ὄξει δριμυτάτῳ ὡς γλοιῶδες γενέσθαι καὶ χλιάνας χρῶ.

23 κγ´ Λιθιώντων ποτός, διὰ πείρας, τοῖς ἐν τῇ κύστει· ἔχει:

Σχοίνου ἄνθος· πεπέρεως κοινοῦ· πετροσελίνου σπέρμα καὶ κράμβης· πεπέρεως μακροῦ, ἀνὰ οὐγγ α´· κόψας καὶ σήσας ταῦτα καλῶς· ὡς χνοῶδες, δίδου ἐξ αὐτῶν πρωὶ νῆστις, ὅσον γράμματα β´ ἢ δ´· μετὰ ἀποζέματος γλυκορίζου ἢ ἐρυθροδάνου, χλιαροῦ χρῶ.

---

**21, 1** ἐπίχρισμα δόκιμον] καλὸν ἄλλον· P | δόκιμον] τὸ διὰ ἀμμωνιακόν· X | ἡ σύνθεσις X **2** ἀπύρου om. P ὀροβίνου ἀλεύρου transp. L | καὶ θερμίνου τῶν ἀλεύρων P | θέρμων L | ἀνὰ – α´ om. P | λειώσας post ὄξει P | λειώσας – 3 δεῦσον] τρίψας X **3** ὡς χνοῶδες] καὶ ποιήσας χνοώδη L | ὡς – δεῦσον om. P | μετ᾽ ὄξους δριμυτάτου add. τοῦ ἀρκοῦντος L | δριμυτάτῳ – 4 χρῶ] καὶ μαλάξας, χρῶ· ὡς δόκιμον. P | ὥστε] καὶ μαλάξας καὶ ποιήσας L | ὥστε – ἄνωθεν] χρῖε X | γενέσθαι καὶ om. L **4** χρῶ om. X L **22, 1** ἐπίχρισμα ἀπαράβατον] καλὸν P | ἀπαράβατον] τὸ διὰ χαλκάνθ<ης> X | ἡ σύνθεσις X **3** ἄρρενος om. P X | σπέρματος ἄγνου L σπόρου X | ἀνὰ – ἥμισυ post γλαυκίου P **4** ἐξαγ δ´ om. P | τρίψας – 5 χλιάνας] μαλάξας ὁμοῦ καλῶς καὶ ἀνελόμενος P | ταῦτα – δεῦσον om. X | ὡς[1]] καὶ ποιήσας L | χνοώδη L | μετ᾽ ὄξους δριμυτάτου add. τοῦ ἀρκοῦντος καὶ μαλάξας καὶ ποιήσας L ¦ | ὡς[2] – γενέσθαι om. X | γενέσθαι – 5 χρῶ] χλιαίνων ἐπὶ δὲ τῆς χρείας, ἐπίχριε ἄνωθεν συνεχῶς τὰς λειχῆνας. L **5** ἐπίχριε. X **23, 1** Λιθιώντων ποτός] Λίθους P | ποτός – πείρας post κύστει L | διὰ πείρας post κύστει P ¦ om. X | τῶν X ¦ om. L | post κύστει add. τήξας P ¦ | ἡ σύνθεσις X **2** σχοινάνθ<ης> X | κοινοῦ om. P X | πετροσελίνου σπέρμα transp. L | σπόρου X | post κράμβης add. σπέρμα P **3** κόψας – ὡς] τρίψας X | ταῦτα – χνοῶδες om. P | ὡς χνοῶδες] καὶ ποιήσας ὡς χνοώδη L | ἐξ αὐτῶν om. X | ἐξ – 4 νῆστις om. P **4** post νῆστις add. τοῖς ἔχουσι τοὺς λίθους L | νῆστις ὅσον om. X | ἢ[1]] ἕως X | post δ´ add. πρὸς δύναμιν P | post ἀποζέματος add. χαμαιμήλου P | γλυκυρρίζης X χλιαροῦ – 5 χρῶ om. P X **5** post χρῶ add. in nova linea Τέλος τῶν ληξοπύρετων σκευασιῶν καὶ τῶν λειχηνικῶν χρισμάτων. L

Ἀρχὴ σὺν Θεῷ Ἁγίῳ, τοῦ μʹ στοιχείου·

περὶ Μαρκιάτων σκευασιῶν

αʹ Μαρκιάτου σκευασία, ἡ διὰ τοῦ στύρακος

βʹ Μασουφίου, Ἰνδικοῦ σκευασία, θαυμαστή

γʹ Μάλαγμα τὸ μονομάχιον· πρὸς φλεγμονάς, δόκιμον

δʹ Μάλαγμα πρὸς στροφὰς καὶ πρὸς κρούσματα

εʹ Μάλαγμα ἡ μαστιχηρά ἤτοι στερεά· θαυμαστή

ςʹ Μάλαγμα, ἡ ὀξηρὰ λεγομένη· ἔστιν δὲ καὶ ἔνεμον

ζʹ Μάλαγμα, τὸ διά σμύρνον, Ἀπολλωφάνιον φάρμακον

ηʹ Μάλαγμα, πρὸς στεατώματα· χρήσιμον γὰρ ἐστίν

θʹ Μάλαγμα, πρὸς ῥευματισμὸν στομάχου καὶ ἐντέρων

ιʹ Μάλαγμα, ἡ ἀμβλαμούλα λεγόμενη· πρὸς ποδαλγικούς

ιαʹ Μάλαγμα, πρὸς σπληνικοὺς καὶ ὑδρωπικούς

ιβʹ Μάλαγμα, πρὸς ἰσχιαδικοὺς καὶ νεφρῶν πόνους

ιγʹ Μάλαγμα, πρὸς κωλικούς, Ἀντιπάτρου

ιδʹ Μάλαγμα, παρὰ Ἀσκληπιάδου, πολιτικόν

ιεʹ Μάλαγμα ποιοῦν πρὸς νεύρων διατάσεις

ιςʹ Μάλαγμα δόκιμον διαφοροῦν, ἀθερώματα

ιζʹ Μάλαγμα, Μάγνου σοφιστοῦ φάρμακον

ιηʹ Μυρτίτης σκευασία· πρὸς κωλικοὺς καὶ δυσεντερικούς

ιθʹ Μύρου, φολιάτου σκευασία· πάνυ δόκιμος

κʹ Μέδου ἕψησις, ὅπερ ἐστὶν ἀπόμελι· θαυμαστόν

καʹ Μήλων σκευασία, πάνυ δόκιμος καὶ ἐπαινετή

κβʹ Μύρου φολιάτου, ἑτέρα σκευασία δόκιμος

κγʹ Μύρου σκευασία, τοῦ καὶ πενταμύρου λεγομένου

κδʹ Μύρου σκευασία, τοῦ δεκαμύρου λεγομένου

κεʹ Μύρου σκευασία, τοῦ εὐῶδες λεγομένου

---

**P, 1** Ἀρχὴ – 2 σκευασιῶν om. X | σὺν – Ἁγίῳ om. P **2** περὶ – σκευασιῶν om. P **3** ἡ – στύρακος om. P **4** θαυμαστή om. P X **5** μοναχικὸν X | δόκιμον καὶ σκληρίας ἥπατος καὶ σπληνός P ¦ om. X **6** στρόφους P καὶ – κρούσματα om. P **7** ἤτοι – θαυμαστή om. P | θαυμαστή om. X **8** λεγομένη – ἔνεμον om. P | ἔστιν – ἔνεμον om. X **9** διάσμυρνον P | σμύρνης X | Ἀπολλωφάνιον φάρμακον om. P X **10** χρήσιμον – ἐστίν om. P X **11** καὶ ἐντέρων om. X | post ἐντέρων add. καὶ πρὸς κοιλιακούς P **12** λεγόμενη – ποδαλγικούς διὰ πείρας P ¦ om. X **13** πρὸς] ποιοῦν ἡπατικοὺς P **14** καὶ – πόνους om. X | νεφρικούς P **15** post Ἀντιπάτρου add. καὶ πρὸς πᾶσαν ὀδύνην τῶν ἐντός P **16** πολιτικόν om. P **17** ποιοῦν om. X | διάτασιν X **18** δόκιμον om. P X ἀθερώματα add. στεατώματα καὶ μελικηίδας P **19** post φάρμακον add. πρὸς τοὺς μέλλοντας ὑδεριᾶν καὶ πρὸς πᾶσαν σκληρίαν σπλάγχνων P ¦ om. X **20** ποιεῖ P | κοιλιακούς P ¦ superscr. κοιλιακούς X | καὶ δυσεντερικούς om. P X **21** πάνυ δόκιμος om. P X **22** θαυμαστόν om. P X **23** ante Μήλων add. Τὸ διὰ P | σκευασία – ἐπαινετή om. P | καὶ ἐπαινετή om. X **24** ἄλλη P | σκευασία δόκιμος om. P | δόκιμος om. X **25** Πενταμύρου σκευασία P | λεγομένου om. X **26** Δεκαμύρου σκευασία P | λεγομένου om. X **27** σκευασία – λεγομένου] δυσώδους σκευασία P

## Ἀρχὴ σὺν Θεῷ Ἁγίῳ, τοῦ μ´ στοιχείου·

## περὶ Μαρκιάτων σκευασιῶν ἕτερα

Τὴν τοῦ λ´ στοιχείου· συντόμως διεξελθόντες πραγματείαν, δεῦρο καὶ ἐπὶ τὴν τοῦ μ´ στοιχείου καταλαβόντες, τὴν τούτου ἐξήγησιν τῶν θεραπειῶν ποιησώμεθα· ὧν πρῶτον ἐστὶν κεφάλαιον·

α´ Μαρκιάτου σκευασία, ἔχει: 1

Στύρακος καλαμίτου, οὐγγ α´· κηροῦ, οὐγγίας ἥμισυ καὶ τέταρτον· γλαυκίου· νάρδου, ἀνὰ οὐγγ α´ καὶ ἥμισυ· μαστίχης, οὐγγ ἥμισυ καὶ τέταρτον· μυελοῦ ἐλάφου, οὐγγ α´· τερεβινθίνης, οὐγγ ἥμισυ· ὑσσώπου, οὐγγ τέταρτον· ὀποῦ βαλσάμου, ἐξάγ α´ καὶ ἥμισυ· ταῦτα πάντα τρίψας καὶ σκευάσας καλῶς, ἕψε, ὡς Μαρκιάτου συστάσεως· χρῶ.

β´ Μασουφίου Ἰνδικοῦ σκευασία, θαυμαστή· ἔχει: 2

Ζιντζιβέρεως· ἀλόης ξανθῆς, ἀνὰ οὐγγ ἥμισυ· κόστου· ἐξάγ α´ καὶ ἥμισυ· καρεοφύλλου, γράμματα δ´· φύλλου, οὐγγ γ´· νάρδου Ἰνδικοῦ· ἀμώμου· κρόκου, ἀνὰ γράμματα γ´· κασίας, γράμματα δ´ καὶ ἥμισυ· καρποῦ βαλσάμου, οὐγγ ἥμισυ καὶ τέταρτον· κόμμεως, οὐγγ ἥμισυ· ταῦτα πάντα τρίψας καλῶς, σκεύαζε μετὰ οἰνάνθου ὑγροῦ τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς· χρῶ.

γ´ Μάλαγμα, τὸ μονομάχιον· ποιοῦν πρὸς φλεγμονάς καὶ σκληρίας ἥπατος· σπληνὸς καὶ κοιλίας καὶ μήτρας· πρὸς ὀγκωθέντας τόπους· πρὸς χοιράδας καὶ πανούκλας· βουβῶνας· φύματα καὶ ἁπλῶς εἰπεῖν, πρὸς πᾶσαν σκληρίαν διαλῦον θαυμαστῶς· ἔτι τε καὶ πρὸς ἐμπνευμάτωσιν, πάνυ δόκιμον· ἔχει: 3

Λιθάργυρον, οὐγγ γ´· ἀλθαίας ῥίζης ἀλεύρου οὐγγ δ´ καὶ ἥμισυ· μολόχου ἀγρίας σπέρμα, οὐγγ α´ καὶ ἥμισυ· στέατος ὑοῦ παλαιοῦ, οὐγγ α´ καὶ ἥμισυ· στέατος χηνείου,

---

**0 , 2** μαλαγμάτων καὶ μύρων L **3** στοιχείου om. X | διελθόντες X | πραγματείαν – καὶ om. P **4** στοιχείου om. X | χωρήσωμεν add. καὶ τὴν ἀπό τούτου τὴν ἀρχὴν λαμβανόντων L | καταλαβόντες – τούτου] τάξιν χωρήσωμεν καὶ τὴν X | τὴν τούτου ἐξήγησιν post θεραπειῶν L | post τῶν add. τούτου X | post θεραπειῶν add. πρῶτον X ¦ add. καὶ σκευασιῶν L | ὧν – 5 κεφάλαιον om. P **5** post κεφάλαιον add. ἤδε: X ¦ add. ἡ τοῦ Μαρκιάτου σκευασία. L **1, 1** post σκευασία add. ἡ διὰ τοῦ στύρακος X L | ἡ σύνθεσις X **2** οὐγγίας – τέταρτον] ἐξαγ δ´ καὶ ἥμισυ P **3** οὐγγ[2] – τέταρτον] ἐξαγ δ´ καὶ ἥμισυ P | ἐλαφείου μυελοῦ L | ἐλαφείου P **4** οὐγγ τέταρτον] ἐξαγ α´ καὶ ἥμισυ P | ὀποβαλσάμου X **5** ταῦτα πάντα om. X | ταῦτα – καὶ[2] om. P | καὶ[2] – καλῶς om. X | καλῶς – συστάσεως om. P | ἕψει X | σύστασιν X **6** post χρῶ add. θαρρῶν P ¦ om. X L **2, 1** θαυμαστή om. P X | ἡ σύνθεσις X **2** ἠπάτιδος P ¦ om. X **3** γαρεόφαλα P ¦ καρυοφύλλου X **4** καρποβαλσάμου X L | ἥμισυ[2] – 5 τέταρτον] ἐξάγ δ´ καὶ ἥμισυ P ¦ **5** ταῦτα πάντα om. X | ταῦτα – μετὰ om. P | καλῶς om. X | οἰνάνθης ὑγρᾶς X | οἰνάνθης ὑγρᾶς τῆς ἀρκούσης L **6** καὶ – καλῶς om. P | καὶ – χρῶ om. X | post καλῶς add. οὕτω L **3, 1** μοναχικὸν X | ποιοῦν om. X ¦ ὠφελοῦν L | σπληνὸς post φλεγμονάς L **2** καὶ[1] om. X | τόπους P | καὶ[3] om. X ¦ πρὸς L **3** πρὸς om. X | post σκληρίαν add. τὴν ἐν παντὶ μέρει τοῦ σώματος γινομένην, μαλάσσει καὶ L | διαλύει θαυμασίως L | ἔτι] λύει L | ἔτι τε] ἔστι X **4** ἐμπνευματώσεις L πάνυ om. X | πάνυ δόκιμον om. P L | ἡ σύνθεσις X **5** ἀλθαίας – ἀλεύρου transp. L | μολόχου – 6 σπέρμα transp. L | ἀγρίου σπέρματος P **6** σπόρου X | ὑὸς X L | χοιρείου P | οὐγγ[2]] ἥμισυ, ἐξάγ P | χηνὸς X

οὐγγ ἥμισυ καὶ τέταρτον· στέατος ὀρνίθου, οὐγγ α΄· γράμματα γ΄· τῆλις ἀλεύρου, μυελοῦ ἐλάφου, ἀνὰ οὐγγ α΄ καὶ ἥμισυ· κηροῦ καθαροῦ, οὐγγ γ΄· χαλβάνης· κολοφωνίας, ἀνὰ οὐγγ α΄· ἐλαίου παλαιοῦ, οὐγγ ζ΄ καὶ ἥμισυ· ἀνήθου ἀλεύρου, οὐγγ γ΄· χαμαιμηλίνου ἀλεύρου, γράμματα γ΄· ἐλλεβόρου λευκοῦ, ὁλκὴν α΄ καὶ ἥμισυ· σαμψύχου, οὐγγ ἥμισυ· τὰ τηκτά, τῆξον καὶ ἐπίβαλε τὰ ξηρὰ καὶ ἀναμαλάξας καὶ σκευάσας καλῶς· χρῶ.

4 δ΄ Μάλαγμα, πρὸς στροφάς καὶ προσκρούσματα ἐκβεβλημένα καὶ πρὸς κλάσματα· ἔχει:

Χαλβάνην, οὐγγ α΄· κρόκου, οὐγγ τέταρτον, ἀμμωνιακοῦ θυμιάματος· κηροῦ καθαροῦ, ἀνὰ οὐγγ α΄ καὶ ἥμισυ· πίσσης ξηρᾶς, λίτρας ἥμισυ· ὄξους δριμέος, κοχλιαρίου, ἥμισυ· τρίψας ταῦτα πάντα καὶ σκευάσας καλῶς· χρῶ· θαρρῶν ἐν Κ<υρί>ῳ· ἔστιν δὲ δόκιμον.

5 ε΄ Μάλαγμα, ἡ μαστιχηρά, ἤτοι στερεά· ποιοῦσα αὔτη, ὡς ἀνωτέρῳ εἴρηται· ἔχει:

Μαστίχης, οὐγγ β΄· κηροῦ καθαροῦ, οὐγγ α΄· κολοφωνίας οὐγγ γ΄· ἀμμωνιακοῦ, θυμιάματος, οὐγγ β΄· πιτυΐνης, λίτρας ἥμισυ· ταῦτα πάντα σκευάσας καλῶς, δίδου τοῦτο, ἐπὶ τῆς χρείας καὶ πρὸς ἐντεροκοιλιακούς.

6 ς΄ Μάλαγμα, ἡ ὀξηρὰ λεγομένη· ἔστιν δὲ ἔνεμον καὶ τοὺς ἀφεστῶτας κόλπους κολλᾷ· ποιεῖ δὲ καὶ πρὸς πάντα τὰ σπάσματα· πρὸς ἀρθριτικούς· ποδαλγικούς· ἰσχιαδικούς· παραλυτικούς· ἰσχίων πόνους· θηριοδήκτους· χρῶ δὲ μάλιστα καὶ πρὸς περὶ ὀδύναις τὰ ἄκρα καὶ νεύρων ἀγκύλας· δακτύλων καὶ συνολκὰς διαφορεῖ· χοιράδας καὶ παρωτίδας, διαφορεῖ· ἔχει:

Πίσσης ξηρᾶς, λίτρ ἥμισυ· κηροῦ καθαροῦ, οὐγγ γ΄· ἀμμωνιακοῦ θυμιάματος, οὐγγ α΄ καὶ ἥμισυ· λιβάνου· χαλβάνης· στύρακος, ἀνὰ οὐγγ ἥμισυ· τερεβινθίνης, οὐγγ α΄ καὶ ἥμισυ· ὄξους κοτύλης ἥμισυ· τὴν πίσσαν λεπτὰ κόψας, βάλε εἰς μέρος τοῦ ὄξους, ἵνα ζέσῃ· ἕως ἐνωθῇ τὸ ὄξος, σὺν τῇ πίσσῃ καὶ ἐπίβαλε τὸν κηρόν· εἶτα τὴν χαλβάνην· τὸν

---

**7** καὶ τέταρτον] ἐξαγ α΄ καὶ ἥμισυ P | ὄρνιθος X | τήλεως P | ἀλεύρου τήλεως L **8** ἐλαφείου L | καθαροῦ om. P X **9** ἀλεύρου ἀνηθίνου L **10** χαμαιμηλίνου ἀλεύρου transp. L | τὸ ἄλευρον P **11** τῆξας X L | καὶ[1] om. X | ἐπιβαλὼν X | καὶ[2] – 12 χρῶ] μάλαξον. X | καὶ[3] – καλῶς om. P **12** post χρῶ add. ἐπὶ το<ῖς> προειρημέν<οις> P **4, 1** στροφ<ου>ς P | κρούσματα X | θλάσματα P **2** ἡ σύνθεσις X **3** οὐγγ τέταρτον] ἐξάγ α΄ καὶ ἥμισυ P **4** καθαροῦ om. P X **5** τρίψας – καλῶς om. P | τρίψας – 6 δόκιμον om. X | ταῦτα πάντα transp. L | θαρρῶν – 6 δόκιμον om. L | ἔστιν δὲ δόκιμον om. P **5, 1** post Μάλαγμα add. τὸ λεγόμενον L ὠφελοῦν L | αὔτη om. X | αὔτη – εἴρηται] πρὸς ἅπαντα τὰ εἰρημένα ἀνωτέρω· P | ὡς] εἰ ὅσα καὶ τὸ L ἀνώτερον L | εἴρηται om. X | ἡ σύνθεσις X **2** καθαροῦ om. P X **3** ταῦτα πάντα transp. L | ταῦτα – καλῶς om. X | ταῦτα – 4 χρείας] τοῦτο ποιεῖ P ¦ **4** τοῦτο om. L | τοῦτο – χρείας om. X | καὶ] τοῖς πάσχουσι· δίδου δὲ τοῦτο L **6, 1** λεγομένη om. P ¦ τὸ λεγόμενον post Μάλαγμα L | ἐνεστώτας P | κόλπους κολλᾷ transp. L **2** δὲ om. X | καὶ om. P **3** ἰσχίων πόνους transp. L | θηριοδήκτοις (sic!) P | χρῶ – μάλιστα om. X | τούτῳ L | post πρὸς add. ποδαλγικο[ῖ]ς καὶ P ¦ | περιώδυνους X | ὀδυνομένους L **4** post ἄκρα add. διαφορεῖ γὰρ νεῦρα add. ὀδυνόμενα L ¦ | ἀγκύλας δακτύλων transp. post συνολκὰς X | ἀγκύλας – καὶ[2] om. X | διαφορεῖ om. X ¦ add. καὶ πόνους ἰσχίων καὶ L **5** διαφορεῖ om. P L | ἡ σύνθεσις X ¦ add. ἡ τούτου σκευασία L **6** ξηρᾶς om. X | καθαροῦ om. P X **8** post πίσσαν add. εἰς L | ζέσον X | post ὄξους[2] add. καὶ θὲς ἐπὶ πυρὸς L | ἵνα – 9 ζέσῃ om. X **9** post ἕως add. οὗ X | σὺν τῷ ὄξει X | μετὰ τῆς πίσσης L | σὺν – καὶ om. X | εἶτα P L | εἶθ’ οὕτως P ¦ καὶ μετὰ τοῦτο L

στύρακα καὶ σὺν ὀλίγῳ κηρῷ μεμαλαγμένῳ καὶ κατ᾽ ἐνέγκας ἀπὸ τοῦ πυρός, βάλε πάλιν, τὴν τερεβινθίνην· τὸ ἀμμωνιακὸν καὶ τὸ λίβανον· σὺν ὄξει λελειωμένον καὶ ἑνώσας ἑκάτερα εἰς θυίαν, προνενοτισμένῳ ὄξει καὶ σκευάσας καὶ μαλάξας καλῶς· ἀπόθου ἐν ἀγγείῳ· ἐπὶ δὲ τῆς χρείας, δίδου· χρῶ.

ζʹ Μάλαγμα, τὸ διά σμύρνον, Ἀπολλωφάνιον φάρμακον, ἐπιτεταγμένον· ποιεῖ πρὸς 7
τὰς τῶν ὑποχονδρίων διαθέσεις· διαλύει πᾶσαν σκληρίαν· ποιεῖ· ἡπατικοῖς· σπληνικοῖς· νεφριτικοῖς καὶ πρὸς πᾶσαν νευρικὴν συμπάθειαν καὶ πρὸς τὰς τῶν ἄρθρων ὀδύνας καὶ κατοχάς· ἔχει:

Κηροῦ καθαροῦ· τερεβινθίνης· βδελλίου· ζιντζίβερι· ἀμμωνιακόν· τρίψας ταῦτα πάντα καλῶς, δεῦσον σὺν οἴνῳ τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς· ὑπὲρ οὗ χριομένῳ τῷ ἐρρίνῳ· μέχρι παντελῶς διαλύσεως καὶ οὕτως χρῶ.

ηʹ Μάλαγμα, πρὸς στεατώματα· χρήσιμον γάρ ἐστὶν τοῦτο καὶ πολύχρηστον ὑπάρχει· 8
ἐξαιρέτως δέ, πρὸς τὰ εἰρημένα στεατώματα, ποιεῖ· μαρτυρώδη χρησάμενος· ἔχει:

Κηροῦ καθαροῦ· τερεβινθίνης· ἰξοῦ· τήξας ταῦτα καλῶς, μάλασσε, δι᾽ οἴνου καλοῦ τὸ ἀρκοῦν καὶ ἕψε ἴσα ὁμοῦ· ἵνα μὴ μολύνει· χρῶ.

θʹ Μάλαγμα, πρὸς ῥευματισμὸν στομάχου καὶ ἐντέρων καὶ πρὸς κοιλιακόν, πάνυ 9
δόκιμον· ἔχει:

Οἰνάνθης ξηρᾶς, οὐγγ αʹ· ὀμφακίνου· φοινίκων· βαλάνων σάρκας· ἀκακίας· ἀλόης ξανθῆς· κηκίδιν· στυπτηρίας στρογγύλης· πίσσης ξηρᾶς, ἀνὰ οὐγγ βʹ· κηροῦ καθαροῦ· ἐλαίου μυρσίνου, ἀνὰ οὐγγ γʹ· ὑποκιστίδος καὶ τοῦ χυλοῦ, ἀνὰ οὐγγ βʹ· ῥόδα ἐρυθρά· σπέρμα πεντανεύρου, ἀνὰ οὐγγ αʹ καὶ ἥμισυ· ζωμὸν πεντανεύρου καὶ οἴνου εὐώδους τὸ ἀρκοῦν· τρίψας ταῦτα πάντα καὶ μαλάξας καὶ σκευάσας καλῶς, χρῶ τοῦτο δόκιμον.

---

**10** καὶ[1] om. P X | μεμαλαγμένον X L | κατ᾽ ἐνέγκας] ἄρας X | ἐκ X | ἔμβαλλε P | πάλιν om. P X L **11** τρεμεντίναν X | post σὺν add. τῷ λοιπῷ L **12** ἑκάτερα om. X | πάντα ἐν τῇ θυίᾳ L | προνενοτισμένῃ X L καὶ σκευάσας om. P | καὶ[1] – καὶ[2] om. X | μάλαξον X | ἐπιμελλ[ῶς] P | καλῶς – 13 χρῶ om. X | ἐν – 13 δίδου] καὶ P **13** χρῆσθαι add. αὐτῷ τοῖς πάσχουσιν ὑπὸ τῶν εἰρημένων νοσημάτων L **7, 1** Ἀπολλωνίου X ἐπιτεταμένον L | ἐνεργοῦν L | εἰς L **2** τῶν om. X | διαλῦον L | πρὸς X ¦ ὠφελοῦν L | ἡπατικοὺς X σπληνικοὺς X **3** νεφριτικοὺς X | νεφρικὴν X | πρὸς[2] – τῶν om. L **4** ἡ σύνθεσις X **5** καθαροῦ om. P X | ζζʹʹ ¦ ζιντζιβέρεως L | ἀμμωνιακοῦ P L | τρίψας – 6 δεῦσον om. P | ταῦτα – 6 καλῶς[1] om. X **6** καὶ οἴνου P ¦ οἴνου X ¦ σὺν οἴνου L | τοῦ ἀρκοῦντος L | καὶ – καλῶς[2]] πάντα δὲ κόπτε P | καὶ – 7 χρῶ om. X | ἐπίχεε αὐτῷ· ἴρινον ἔλαιον L | χριομένου P **7** ἕως παντελοῦς L | post διαλύσεως add. μαλάσσων L | καὶ – χρῶ om. P **8, 1** χρήσιμον – 2 χρησάμενος om. X | γάρ – καὶ] ὑπάρχει μὲν καὶ εἰς ἄλλα πάθη ὠφέλιμον L | ἐστὶν τοῦτο om. P | ὑπάρχει] γὰρ ἔστιν L **2** πρὸς] ἐνεργεῖ εἰς L | ποιεῖ – χρησάμενος] μεγάλως δὲ ἰσχυρίζομαι δὲ ἐγὼ ὡς χρησάμενος καὶ εὑρὼν αὐτὸ χρησιμότατον· L | ἡ σύνθεσις X ¦ λαβὼν L **3** Κηρὸν καθαρὸν L | καθαροῦ om. P | τερεβινθίνην L | post ἰξοῦ add. οὐγγ αʹ P ¦ add. ἰοῦ super lin. X ¦ ἰξὸν L | τήξας – 4 ἀρκοῦν in finem praecepti P | αὐτὰ L | ταῦτα καλῶς om. P X | καλοῦ – 4 ἀρκοῦν om. P | τὸ – 4 ἀρκοῦν om. X ¦ τοῦ ἀρκοῦντος L **4** ἕψει X | ὁμοῦ μετ᾽ αὐτοῦ ἴσα ἐμβαλὼν καὶ τὰ γʹ εἴδη L | post μολύνει add. ἔπειτα P | χρῶ om. X ¦ περιπίπτον τὸ μάλαγμα. L **9, 1** κοιλιακοὺς L | πάνυ – 2 δόκιμον om. P X **2** ἡ σύνθεσις X **3** post ὀμφακίνου add. οὐγγ βʹ P **4** ξανθῆς] καυσίτιδ<ος> P ¦ om. X | κηκῖδος L | καθαροῦ om. P X **5** ἐλαίου μυρσίνου transp. P ¦ μυρσινελαίου X | μυρσινίνου L | χυλοῦ καὶ τῆς πόας P ¦ om. X | post χυλοῦ add. αὐτῆς L | ῥόδα] ῥόδων P | ῥόδων ἐρυθρῶν X L | ἐρυθρά om. P **6** σπόρου X | ζωμοῦ X L **7** τρίψας – καὶ[1] om. P τρίψας – δόκιμον om. X | ταῦτα πάντα transp. L | καὶ[2] – καλῶς om. P | χρῶ – δόκιμον] δίδου χρῆσθαι τοῖς πάσχουσιν. L | τοῦτο δόκιμον om. P

10 ιʹ Μάλαγμα, ἡ ἀμβλαμούλα λεγομένη· διὰ πείρας· ποιεῖ ποδαλγικοῖς· ἀρθριτικοῖς, ἰσχιαδικοῖς καὶ πρὸς παράλυσιν, οὐ μόνον ἐπ᾽ ἀν<θρώπ>ων ὠφελεῖ· ἀλλὰ καὶ ἐπὶ κτήνεσιν· ἔλαβον δὲ αὐτήν, παρὰ Ἱππιάλου ἰητροῦ· ὡς ἀναλύων ἐξ αὐτῆς, ἐπ᾽ ἀνθράκου πυρός· μετ᾽ ἐλαίου ναρδίνου ἢ ἰρίνου ἀντὶ ἀκόπου ἐχρᾶτο· διαχρίων αὐτοῦ τὰ σκέλη καὶ διὰ τοῦ ταχέως αὐτοῦ, ἀποδοῦναι τὴν προσδοκίαν καὶ διὰ τοῦτο, ἀβλαμούλα προσηγορεύθη· χρησάμενος δὲ αὐτὴν καὶ ἐπὶ ποδαλγοῦντας καὶ μεγάλως εὐδοκίμησα· ἔχει:

Ὀποπάνακος· ἀσφάλτου· χαλβάνης· σαγαπηνοῦ· ἰξοῦ δρυίνου, ἀνὰ οὐγγίαν αʹ καὶ ἥμισυ· ἀλόης ξανθῆς· καστόριν· στύρακος, ἀνὰ οὐγγίαν αʹ· ὑσσώπου· ἀμμωνιακοῦ θυμιάματος, ἀνὰ οὐγγ βʹ· βδελλίου· μάννης, ἀνὰ οὐγγ αʹ καὶ ἥμισυ· προπόλεως· τερεβινθίνης, ἀνὰ οὐγγ βʹ· πιτυΐνης λίτρ ἥμισυ· κηροῦ καθαροῦ, λίτρ αʹ· πίσσης ξηρᾶς, λίτρας ἥμισυ· τρίψας ταῦτα πάντα καλῶς, δεῦσον σὺν οἴνῳ εὐῶδες τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς χρῶ.

11 ιαʹ Μάλαγμα, ποιοῦν πρὸς σπληνικοῖς· ὑδρωπικοῖς· ἰσχιαδικοῖς καὶ ἀρθριτικοῖς· δόκιμον· ἔχει:

Κηροῦ Τυρρηναϊκοῦ, ἰξοῦ κυπρίνου, ἀνὰ οὐγγ δʹ καὶ ἥμισυ· μυροβαλάνου τῶν σαρκῶν· νίτρου Ἀλεξανδρινοῦ· λίθου Ἀσίου· ἀμμωνιακοῦ θυμιάματος, ἀνὰ οὐγγ αʹ καὶ ἥμισυ· τρίψας ταῦτα καλῶς, δεῦσον σὺν ὄξει τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, χρῶ.

12 ιβʹ Μάλαγμα, πρὸς ἰσχιαδικοὺς καὶ νεφρῶν πόνους· ὁ οὐδὲν ἴσον· ἄλλον τούτου ἐστὶν· ἔχει:

Κηροῦ καθαροῦ· πίσσης φρυκτῆς, ἀνὰ λίτρας ἥμισυ· στύρακος· ἀμμωνιακοῦ· ὀποπάνακος· τερεβινθίνης· μαστίχης· χαλβάνης· λιβάνου· πεπέρεως κοινοῦ, ἀνὰ οὐγγ αʹ καὶ ἥμισυ· τρίψας ταῦτα καλῶς, δεῦσον σὺν ὄξει τὸ ἀρκοῦν καὶ σκευάσας χρῶ.

---

**10, 1** λεγομένη om. P X | διὰ πείρας om. X L | ποιεῖ] πρὸς X ¦ ὠφελοῦν L | ἀρθριτικούς, ἰσχιαδικούς X **2** παραλυτικοῖς add. εἰ γὰρ δὲ P ¦ παραλελυμένοις L | ποιεῖ P ¦ om. X L **3** κτηνῶν X ¦ κτηνῶν add. ὠφέλιμον ἐστὶν L | γὰρ P ¦ ἐγὼ τοῦτο L | ἠπιάλου X L | ἀρχιητροῦ P ¦ ἰατροῦ X L | ὡς om. X | αὐτοῦ P L ¦ add. μέρος L | ἐπὶ μαλθακοῦ P | ἀνθράκων X L **4** πυρός om. X | ναρδελαίου X | ἰρινελαίου X | ἐχρῆτο X L **5** παρέχειν L | ὠφέλειαν L | καὶ – τοῦτο om. L **6** προσηγορεύθη] ἐκάλεσεν L | χρησάμενος – εὐδοκίμησα om. X | αὐτὴν om. P ¦ καγὼ αὐτῷ L | καὶ[1] om. L **7** post ἔχει add. δὲ οὕτως P ¦ ἡ σύνθεσις X **9** ἅλὸς ἄνθος P ξανθῆς om. X | καστορίου P X L | post οὐγγίαν add. βʹ ἢ P **10** μάνεντος L **11** καθαροῦ om. P X | αʹ] ἥμισυ P **12** τρίψας – δεῦσον om. P | ταῦτα πάντα transp. L | ταῦτα – καλῶς om. X | καὶ οἴνου P | μετ᾽οἴνου εὐώδους L | εὐῶδες om. P ¦ εὐώδει X | τοῦ ἀρκοῦντος L | καὶ – 13 χρῶ om. X **13** καλῶς om. P **11, 1** ποιοῦν om. X ¦ ὠφελοῦν L | πρὸς om. P | σπληνικοῖς sic! P | σπληνικοὺς ὑδρωπικοὺς ἰσχιαδικοὺς καὶ ἀρθριτικοὺς X **2** δόκιμον om. P X L **3** τυρρηνικοῦ P ¦ om. X | δράμ P | μυροβαλάνου τῶν σαρκῶν transp. L | τῶν – 4 σαρκῶν om. X **5** τρίψας – δεῦσον om. P | ταῦτα καλῶς om. X | καὶ ὄξους P ¦ μετὰ ὄξους L | τοῦ ἀρκοῦντος L | post ἀρκοῦν add. καὶ μαλάξας L | καὶ – χρῶ om. X | καλῶς[2] om. P ¦ ὡς δεῖ L | post χρῶ add. ὧς δόκιμον. P **12, 1** πόνους νεφρῶν P | ὁ – ἐστὶν om. X | ἄλλον om. P | ἄλλον – ἐστὶν] εἰς τὰ τοιαῦτα ἄλλο· L **2** ἡ σύνθεσις X **3** καθαροῦ om. P X | πίσσης om. P **4** κοινοῦ om. P X **5** τρίψας – δεῦσον om. P | ταῦτα καλῶς om. X | καὶ ὄξους P ¦ μετὰ ὄξους L ¦ | τοῦ ἀρκοῦντος L | καὶ σκευάσας om. P | καὶ[2] – χρῶ om. X | post σκευάσας add. καλῶς L

ιγʹ Μάλαγμα, πρὸς κωλικοῖς, Ἀντιπάτρου· ποιεῖ καὶ πρὸς πᾶσαν ὀδύνην τῶν ἐντός· 13
ἔχει:

Σιλφίου· ἐλελισφάκου, ἀνὰ ὁλκὴν αʹ· κασίας· μαράθρου· μελάνθιν· σταφίδος ἀγρίας· χαλβάνης· στρουθίου· θείου ἀπύρου, ἀνὰ ὁλκὰς βʹ· πάνακος ῥίζης· προπόλεως· πυρέθρου· ἀμμωνιακοῦ· νίτρου, ἀνὰ ὁλκὰς γʹ καὶ ἥμισυ· λίθου Ἀσίου ἄνθος, ὁλκὰς ιβʹ καὶ ἥμισυ· κηροῦ καθαροῦ, ὁλκὰς νβʹ καὶ ἥμισυ· ῥητίνης, ὁλκὰς οεʹ· τρίψας ταῦτα πάντα καλῶς, δεῦσον μετʼ ἐλαίου, λίτρας ἥμισυ καὶ σκευάσας ταῦτα πάντα καλῶς, χρῶ.

ιδʹ Μάλαγμα, παρὰ Ἀσκληπιάδου, πολιτικόν· ὠφελεῖ πρὸς πάντα πόνον· ἀνώδυνον 14
ποιοῦν τοὺς λαμβάνοντας παραχρῆμα· ἔχει:

Κηροῦ Τυρρηναϊκοῦ, μνᾶν αʹ· στέατος ταυρείου· μνᾶς δʹ· στέατος χηνείου, μνᾶς ἥμισυ· μυελοῦ ἐλαφείου· τερεβινθίνης, ἀνὰ μνᾶς ἥμισυ· χαλβάνης, οὐγγίαν αʹ καὶ ἥμισυ· ὑσσώπου ὑγροῦ, οὐγγ βʹ· ῥοδίνου ἐλαίου, κοχλιάρια βʹ· τηλίνου ἐλαίου, κοτύλης ἥμισυ· τρίψας ταῦτα καὶ δεῦσον καλῶς· πυρὶ μαλθακῷ, ταῦτα μίξας ἐλαφρῶς κινῶν· ἔστω δὲ ἐν ἑτοίμῳ σὺν αὐτῷ κεκομμένα λεῖα· ἤγουν, ἴρεως Ἰλλυρικῆς, χοίνικος αʹ· ἀριστολοχίας, χοίνικος ἥμισυ· ὑποκιστίδος λείας, χοίνικος ἥμισυ καὶ τέταρτον· ἀμμωνιακοῦ· κηκῖδος λείας· μάννης, ἀνὰ χοίνικος ἥμισυ· βδελλίου· χοίνικος ἥμισυ καὶ τέταρτον· κινναμώμου· κρόκου· σμύρνης· κασίας· νάρδου Ἰνδικοῦ· σχοινάνθης· καλάμου ἀρωματικοῦ· ἀμώμου· πεπέρεως κοινοῦ· ῥοὸς χυλοῦ· χελώνης θαλασσίας αἵματος· ἀνδροσαίμου βοτάνης· πυρέθρου, ἀνὰ ὁλκὰς ιεʹ· τρίψας ταῦτα πάντα καλῶς, δεῦσον σὺν αὐτῷ ὄξους παλαιοῦ, οὐγγ βʹ καὶ ἀναμίξας πάσας τὰς δυνάμεις, μάλασσε καὶ σύγκοπτε· ἕως ἂν ὅλκιμον καὶ καταπονημένον γένηται καὶ ἀπόθου ἐν ἀγγείῳ· ὠφελεῖ δὲ καὶ πρὸς τοῦ θώρακος καὶ πνεύμονος, ῥευματισμοὺς καὶ τοὺς τὸ βρέγμα τῆς κεφαλῆς ἀλγοῦντας καὶ ἀπόνους τοῦτο, παραχρῆμα ποιεῖ· ἔστι γὰρ πάνυ, δόκιμον· χρῶ.

---

**13, 1** post Μάλαγμα add. ὠφέλιμον L | πρὸς[1] om. P | κωλικοὺς X L | Ἀντιπάτρου post ἐντὸς L | ποιεῖ om. X | ποιεῖ – πρὸς[2]] καὶ L | τὴν L **2** ἡ σύνθεσις X **3** μαράθρου om. P | μελανθίου P X L | σταφίδος ἀγρίας transp. L **4** πάνακος ῥίζης transp. L **5** ἄνθους X L **6** καθαροῦ om. P X | τρίψας – 7 δεῦσον om. P | ταῦτα πάντα transp. L | ταῦτα – 7 καλῶς[1] om. X **7** καὶ P | καὶ – καλῶς[2] om. P | καὶ – χρῶ om. X | ταῦτα πάντα transp. L **14, 1** πολιτικόν post Μάλαγμα L | ὠφελεῖ om. P ¦ ὠφελοῦν L **2** ποιεῖ X ¦ ποιοῦντα L | τοὺς λαμβάνοντας om. P ¦ τὸν λαμβάνοντα X L | εὐθέως post ποιοῦν L | ἡ σύνθεσις X ¦ **3** Τυρρηναϊκοῦ om. X ¦ **4** ἐλάφου P X **5** ῥοδελαίου X | ἐλαίου[1] om. P | ἐλαίου[2]] ἀλεύρου X **6** τρίψας – καλῶς] ταῦτα P | ταῦτα[1]] τὰ ξηρὰ καλῶς L | ταῦτα καὶ om. X | δεύσας L | καλῶς om. X ¦ μετὰ τῶν ἐλαίων καὶ μίξας πάντα, θὲς ἐν L ταῦτα[2] om. P X | ταῦτα[2] – κινῶν] καὶ κίνει ἐλαφρῶς L | ἐλαφρῶς κινῶν transp. P | κίνει X | ἔστω – 7 αὐτῷ] ἔχων δὲ ἕτοιμα ταῦτα L | ἔστω – 7 ἤγουν] εἶτα πρόσθες κεκομμένα ταῦτα X **7** σὺν αὐτῷ om. P | λεῖα] καὶ λελειωμένα καλῶς L | Ἰλλυρικῆς om. X **8** λελειωμένης L **9** λείας om. X L | μάνεντος L **10** ἰνδικῆς X **11** κοινοῦ om. P X | ῥοὸς χυλοῦ transp. L | χελώνης – αἵματος transp. L | βοτάνης τῆς λεγομένης ἀνδροσίμου L | τῆς πόας P **12** τρίψας – καλῶς] ταῦτα ἔχων ὡς εἴρηται τετριμμένα ἕτοιμα, L | τρίψας – αὐτῷ om. P | ταῦτα – καλῶς om. X | δεῦσον – αὐτῷ] βάλε ἐν αὐτοῖς L | σὺν αὐτῷ om. X | ὄξει παλαιῷ X **13** καὶ[1]] εἰς τὰ αὐτὰ P | καὶ[1] – δυνάμεις] εἶτα ἔμβαλε αὐτὰ πάντα καὶ μῖξον μετὰ τῶν ἀνωτέρω εἰρηθέντων εἰδῶν καὶ L | βοτάνοις P | ὅλκιμον – 14 καταπονημένον] καταπονηθῶσι καὶ ἑνωθῶσι προσάλληλα καὶ L ¦ **14** γένωνται ἕν L | καὶ[1]] ἀνελόμενον P ¦ εἶτα L | καὶ[1] – ἀγγείῳ om. X | ἐν ἀγγείῳ om. P | post ἀγγείῳ add. καὶ χρῶ L | ὠφελεῖ δὲ] τοῦτο ποιεῖ P | καὶ[2] om. X L ¦ add. πρὸς L **15** post καὶ[2] add. γὰρ ἐπιτιθεμένη P πόνους X **16** τοῦτο om. P ¦ γὰρ L | παύει. X | ἔστι – χρῶ] καλεῖται δὲ ἡ δόσις Ἀσκληπιοῦ. P ¦ om. X L

15 ιε′ Μάλαγμα, ποιοῦν πρὸς νεύρων διατάσεις· ἔχει:

Ἀμμωνιακόν· βδέλλιον· στύρακος· καστόριν, ἀνὰ οὐγγ α′· τρίψας καλῶς, δεῦσον σὺν ἐλαίῳ παλαιῷ καὶ Σικυωνίῳ, ἀνὰ λίτρας ἥμισυ· ἰξοῦ δρυΐνου, οὐγγ α′ καὶ ἥμισυ· βουτύρου προσφάτου· στέατος χηνείου, ἀνὰ οὐγγ α′· μυελοῦ ἐλαφείου· χαλβάνην· ὀποπάνακα· στέατος ταυρείου, ἀνὰ οὐγγ ἥμισυ· τερεβινθίνης, οὐγγ α′ καὶ ἥμισυ· κηροῦ καθαροῦ, λίτρ ἥμισυ· δεύσας ταῦτα πάντα καὶ σκευάσας καὶ μαλάξας καλῶς, ἀπόθου ἐν ἀγγείῳ καὶ δίδου ἐπὶ τῆς χρείας.

16 ις′ Μάλαγμα δόκιμον, διαφοροῦν, ἀθερώματα· στεατώματα· μελικηρίδας καὶ κονδυλώματα· ἔστιν δὲ πάνυ καλόν· ἔχει:

Κηροῦ καθαροῦ· τερεβινθίνης· ὀροβίνου ἀλεύρου· λιβάνου· ἀφρονίτρου, ἀνὰ οὐγγ α′ καὶ ἥμισυ· χαλβάνης, γράμματα θ′· τρίψας ταῦτα καλῶς, δεῦσον σὺν ἐλαίῳ τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, ὥστε ἐμπλαστρῶδες γενέσθαι καὶ δίδου ἐπὶ τῆς χρείας· χρῶ.

17 ιζ′ Μάλαγμα, Μάγνου σοφιστοῦ φάρμακον· πρὸς τοὺς μέλλοντας ὑδεριᾶν καὶ φλεγμονὴν ἔχοντας καὶ πρὸς πᾶσαν σκληρίαν σπλάγχνων· ἔχει:

Καρδαμώμου· μελιλώτου· δαφνίδων· νάρδου Κελτικῆς· σαμψύχου· ἴρεως Ἰλλυρικῆς· ὀποπάνακος ῥίζης· κυπέρεως· βερνικαρίου· κασίας· τήλεως ἀλεύρου· σελίνου σπέρμα· ἀνίσου, ἀνὰ ὁλκὰς ε′ καὶ τέταρτον· στύρακος· ζιντζιβέρεως, ἀνὰ ὁλκὰς θ′· κηροῦ καθαροῦ· τερεβινθίνης, ἀνὰ οὐγγίας γ′· ἀμμωνιακοῦ· κολοφωνίας, ἀνὰ οὐγγ α′ καὶ ἥμισυ· ἐλαίου ναρδίνου, οὐγγ ἥμισυ καὶ τέταρτον· τοῦτο χρῶμαι κατὰ κόρον· θαυμαστὸν γὰρ ἐστὶν· τὸ ἀμμωνιακὸν καὶ τὸν στύρακα· κόπτε μετ᾿ ὀλίγου κηροῦ καὶ ἄρας ἐκ τῆς συσταθμίας ἐν ὁλμῷ· εἶτα, τὰ τηκτὰ τήξας· λέγω δή, τὴν κολοφωνίαν καὶ τὸ ἔλαιον ἐπίβαλε, τὸ νάρδινον· εἶτα, ἐπίβαλε τὸν στύρακα καὶ τὸ ἀμμωνιακὸν καὶ τὸν κηρὸν τὸν ὁλμοκοπηθέντα· εἶτα ἔχων τὴν τερεβινθίνην ἐν ἄλλῳ τρουλλίῳ, ἐπίβαλε ταῦτα κατὰ τῆς τερεβινθίνης καὶ οὕτως κίνῃ καὶ καλῶς κινήσας· ἐπίβαλε τὰ ξηρὰ καὶ ἑνώσας καὶ μαλάξας καλῶς, ἀπόθου ἐν ἀγγείῳ· ἐπὶ δὲ τῆς χρείας, δίδου.

---

**15, 1** ποιοῦν om. X ¦ ὠφελοῦν L | ἡ σύνθεσις X **2** Ἀμμωνιακοῦ X L | post βδέλλιον add. ἀνὰ οὐγγ α′ P ¦ βδελλίου X L | στύρακος X L | καστορίου X L | τρίψας – σὺν om. P X | μετ᾿ ἐλαίου παλαιοῦ L **3** ἐλαίου παλαιοῦ add. λίτρ ἥμισυ P | ἐλαίου παλιοῦ καὶ Σικυωνίου X | ἐλαίου Σικυωνίου P | Σικυωνίου L **4** προσφάτου om. P | χηνὸς X | post ἐλαφείου add. οὐγγ ἥμισυ P ¦ ἐλάφου X | χαλβάνης L **5** ὀποπάνακα L τερεβινθίνης – 7 χρείας] χρῶ.- P **6** καθαροῦ om. X | δεύσας] τρίψας L | δεύσας – 7 χρείας om. X | δεύσας L **7** post ἀγγείῳ add. ἐπὶ δὲ τῆς χρείας L | ἐπὶ – χρείας] τοῖς νοσοῦσιν ὥστε χρῆσθαι ἐπ᾿ ὠφελείᾳ. L **16, 1** δόκιμον om. P X | καὶ om. X **2** ἔστιν – καλόν om. P X L **3** καθαροῦ om. P X | ὀροβίνου ἀλεύρου transp. L | ἀλεύρου om. P **4** τρίψας – δεῦσον om. P X | καὶ ἐλαίου P ¦ ἐλαίου X ¦ μετ᾿ ἐλαίου L | τοῦ ἀρκοῦντος L **5** καὶ[1] – καλῶς om. P | καὶ[1] – χρῶ om. X | ὡς P | καὶ[2] – χρείας om. P | χρῶ om. L **17, 1** Μάλαγμα om. P φάρμακον om. X ¦ add. ὠφέλιμον L | post καὶ add. τοὺς P **2** φλεγμονὴν ἔχοντας transp. P | ἡ σύνθεσςι X **3** Ἰλλυρικῆς om. X ¦ **4** πάνακος P | ὀποπάνακος ῥίζης transp. L | post ῥίζης add. ἢ ὀποπάνακος P | κυπέρου P L | τήλεως ἀλεύρου transp. L | σελίνου σπέρμα transp. P L | σπόρου X ¦ **5** ε′ – τέταρτον] γ′ καὶ β′τέταρτον P | ζζ′′ X **6** καθαροῦ om. P X **7** ναρδελαίου X | οὐγγ – τέταρτον] ἐξάγ δ′ καὶ ἥμισυ P | τοῦτῳ X L | κόρου X ¦ κόρως L **8** θαυμαστὸν – ἐστὶν om. X L | post κόπτε add. ὁμοῦ L | καὶ[2] – 9 ὁλμῷ om. X **9** τοῦ ὁλμοῦ L | καὶ L | τὰ τηκτὰ om. X | τὰ – τήξας transp. L | ἤγουν P ¦ om. X **10** ἐπίβαλε[2] om. X L **11** τὸν om. X | στρουλλίῳ P **12** οὕτω κίνει X | καὶ[2] om. P | καὶ[2] – ἐπίβαλε] εἶτα X | μετὰ τὸ κινήσαι καλῶς L | κινήσας om. P ¦ | ἐπίβαλε – ξηρὰ] εἶθ᾿ οὕτως ἀναλάμβανε τὰ ξηρά· ἐπίβαλλε P **13** καὶ om. X | καὶ – δίδου] χρῶ.- P | μάλαξον X | καλῶς – δίδου om. X | δίδου post ἀγγείῳ L

ιη΄ Μυρτίτης, σκευασία· ὠφελεῖ, πρὸς κωλικούς· δυσεντερικοὺς καὶ κοιλιακοὺς καὶ 18
πρὸς τοὺς ῥευματιζομένους, τόν τε στόμαχον καὶ τὴν κοιλίαν· ἔχει:

Λαβὼν κοκκία μύρτων λεῖα πεπανθέντα· κόψας αὐτά, ἔκθλιψον καὶ λαβὼν ἐξ αὐτοῦ τοῦ χυλοῦ· λίτρ ιε΄· πρόσπλεξον σὺν αὐτῷ καὶ σαχάριτος καθαροῦ, λίτρας ζ΄ καὶ ἥμισυ καὶ μίξας ἀμφότερα καὶ σκευάσας καὶ μαλάξας καλῶς, ἀπόθου ἐν ἀγγείῳ καὶ δίδου ἐπὶ τῆς χρείας· χρῶ.

ιθ΄ Μύρου, φολιάτου σκευασία· πάνυ δόκιμος· ἔχει: 19

Φύλλου, ἀνὰ οὐγγ α΄ καὶ ἥμισυ· ἀμώμου, οὐγγ α΄ καὶ ἥμισυ· ναρδοστάχυος, οὐγγ α΄· πεπέρεως κοινοῦ, οὐγγ ἥμισυ· κηροῦ τρακταίου, οὐγγ β΄ καὶ ἥμισυ· ἐλαίου βαλανείου, λίτρ ἥμισυ· δεύσας ταῦτα πάντα καὶ σκευάσας καὶ μαλάξας καλῶς, ἀπόθου ἐν ἀγγείῳ· ἐπὶ δὲ τῆς χρείας δίδου· χρῶ.

κ΄ Μέδου, ἕψησις, ὅπερ ἐστὶν ἀπόμελι· ἔχει: 20

Ξυλοανήθου, δεσμίδιον α΄· χειροπληθὲς· μαράθρου κλώνους· δαφνόφυλλα, ἀνὰ χειροπληθὲς α΄· κυδώνια, ὥριμα ι΄· ὕδατος πηγαίου, λίτρας με΄ καὶ βράσας ταῦτα καλῶς εἰς ἀποτρίτωσιν, σείρωσον καὶ ῥίψας τὰς βοτάνας, λάβε τὸν ζωμὸν καὶ ἔμβαλε ἐν αὐτῷ πάλιν· μέλιτος Ἀττικοῦ, λίτρας ιε΄ καὶ ἕψε, ἕως ἀπομείνωσιν τὸ πᾶν, λίτραι με΄ καὶ κατ᾽ ἐνέγκας ἀπὸ τοῦ πυρός· ἐπίπεμπε τὸ ξηρίον, ἔχων ταῦτα· οἷον· τετριμμένα καὶ σεσεισμένα καλῶς· σελίνου σπέρμα καὶ μαράθρου· κυμίνου· ἀνίσου· ναρδοστάχυος· καρεοφύλλου· κόστου· πηγάνου σπέρμα, ἀνὰ γράμματα, δ΄ καὶ ἥμισυ καὶ ὅταν ψυγῇ, συνάλλαξον εἰς ἀγγεῖον καθαρὸν καὶ ἀπόθου εἰς κατώτερον τόπον· τὸ δὲ τοιοῦτον, χρῶ μετὰ ἐνιαυτόν.

---

**18, 1** σκευασία om. P | ποιεῖ P ¦ om. X ¦ ὠφελοῦσα L | κωλικούς om. P ¦ κοιλιακοὺς X | δυσεντερικοὺς – κοιλιακοὺς transp. P | καὶ[1] – 2 κοιλίαν om. P **2** πρὸς τοὺς om. X | τόν τε om. X | τε om. L | τὴν om. X ἔχει om. X L **3** Λαβὼν κοκκία om. X | λεῖα om. X ¦ λίαν L | κόψας – 4 τοῦ om. X | ἀποθλίψας L | λάβε L τὸν τούτων χυλόν· ὅσον P ¦ ἐκ τοῦ ζωμοῦ αὐτῶν L **4** λίτρ ιε΄] ξεστία ι΄ P | πρόσπλεξον σὺν] βάλε ἐν L πρόσπλεξον – καὶ[1] om. X | σὺν – καὶ[1] om. P | καθαροῦ om. X | λίτρας – ἥμισυ] ὅσον ξεστία ε΄ P **5** καὶ[1] – 6 χρῶ] μάλαξον X | μίξας – 6 χρείας] βράσας εἰς σύστασιν· ἀνελόμενον P | σκευάσας – μαλάξας transp. L | ἐπὶ – 6 χρῶ] τοῖς πάσχουσιν ὑπὸ τῶν εἰρημένων νοσημάτων L **19, 1** πάνυ δόκιμος om. P X | ἡ σύνθεσις X **3** κοινοῦ om. P X | τρακταίου om. X | βαλανίνου P L **4** δεύσας – πάντα] τρίψας L | δεύσας – 5 δίδου om. P | ταῦτα – 5 χρῶ] μάλαξον X | post μαλάξας add. πάντα ταπυτα **5** ἐπὶ – δίδου om. L **20, 1** ἡ σύνθεσις X **2** χειροποιηθέν P | post κλώνους add. ὠμοὺς P | φύλλα δάφνης X ¦ δαφνοφύλλων L **3** χειροποιηθὲν P ¦ δεσμίδιον χειροπληθεῖς L | post ὕδατος add. ὀμβρίου καὶ P | ὕδωρ πηγαίον X | λίτρας με΄] ξέστας ὅσον λ΄ P καὶ om. X | βράσας – 4 ῥίψας] στραγγίσας P | ταῦτα καλῶς om. X **4** καὶ[1] – 5 πάλιν] εἶτα πρόσθες X | λάβε – 5 πάλιν] ῥῖψον καὶ ἐπίβαλλε τῷ ὕδατι P **5** Ἀττικοῦ] καλοῦ P ¦ om. X ¦ | λίτρας ιε΄] ξέστας ι΄ P | ἕψει X ἕως – με΄] εἰς σύστασιν X | ληφθεῖ P | λίτραι με΄] ὅσον ξέστας λ΄ P | καὶ[2]] εἶτα L | κατ᾽ – 6 ἐνέγκας] ἄρας X **6** ἐνεγκων L | ἐπίβαλλε P ¦ ἐπίπασσε X ¦ ἐπίπαττε L | τὰ ξηρία X | τὸ – ἔχων om. P | ἔχων om. X ¦ ἔχον L οἷον om. L | οἷον – 7 καλῶς om. P X **7** post καλῶς add. ἤγουν L | σελίνου σπέρμα transp. P L | σπόρου X **8** καρυοφύλλου X | πηγάνου σπέρμα transp. P L | καὶ[2] – 9 τοιοῦτον om. X **9** ἀνελόμενον, ἀπόθου P ¦ σύναξον L | εἰς[1]] ἐν P | ἀγγείῳ καθαρῷ P | θέτε P | τὸ – τοιοῦτον] καὶ P ¦ μετὰ δὲ ἐνιαυτόν, L ¦ | μετὰ ἐνιαυτόν, χρῶ. P **10** μετὰ ἐνιαυτόν] αὐτῷ L

21 κα΄ Μήλων σκευασία, πάνυ δόκιμος· ἔχει:

Μῆλα κεκαθαρμένα, λίτρ α΄· ἰντιβόσπερμα, σταγ δ΄· εὐπατόριον· σάνδαλον κόκκινον, ἀνὰ σταγ α΄· ἕψε ταῦτα, μετ' οἴνου γλυκέος, λίτρων ς΄· μέχρι ὅτου διαλυθῇ, ἡ τῶν μήλων σάρξ· εἶτα σακέλισον, μετὰ κοσκίνου ἀραιοῦ καὶ ἔμβαλε ἐν τῷ τοιούτῳ ζωμῷ σάχαρ, ὅσον καμπανίζει ὁ ζωμὸς καὶ ἕψε, ἕως οὗ γένηται, εἰς σύστασιν μέλιτος καὶ ἕνωσον μετὰ τῆς σαρκὸς τῶν μήλων· εἶτα ἔμβαλε ἐν αὐτῷ· κεκομμένα καὶ σεσεισμένα ταῦτα· κινναμώμου ἀληθινοῦ, στάγια γ΄· μαστίχης, στάγ τρίτον· κρόκον, στάγ τέταρτον· κολίανδρον, στάγ α΄ καὶ σκευάσας ταῦτα πάντα καὶ μαλάξας καλῶς, ἀπόθου ἐν ἀγγείῳ· ἐπὶ δὲ τῆς χρείας, δίδου ἐξ αὐτοῦ. ὁπόταν βούλει· χρῶ.

22 κβ΄ Μύρρου, φολιάτου σκευασία· δόκιμος· ἔχει:

Φύλλου, οὐγγ α΄ καὶ ἥμισυ· ἀμώμου, οὐγγ ἥμισυ· κασίας, οὐγγ α΄· λαδάνου, οὐγγ ἥμισυ· πεπέρεως κοινοῦ καὶ λευκοῦ, ἀνὰ κόκκους κ΄· σμύρνης, στρωγλίτιδος, ὁλκῆς ἥμισυ· κόψας καὶ σήσας καλῶς, ἐπίβαλε σὺν αὐτοῖς, ἐλαίου ναρδίνου, λίτρας ἥμισυ· ὑπὲρ τοῦ μελάντερον γενέσθαι τὸ φάρμακον· εἶτα λαβὼν καρύων τὰ λέπη, καῦσον ἐν θυίᾳ δὲ τρίψας, ἐπίβαλε· εἶτα πρόσμιξον καὶ ὀποῦ βαλσάμου σὺν αὐτοῖς, κοχλιάριον α΄ καὶ ἥμισυ καὶ κηροῦ καθαροῦ, οὐγγ ἥμισυ καὶ σκευάσας καλῶς, χρῶ.

23 κγ΄ Μύρου σκευασία, τοῦ καὶ πενταμύρου λεγομένου· ἔχει:

Στύρακος, οὐγγ ἥμισυ· μαστίχης, οὐγγ α΄· κηροῦ λευκοῦ, οὐγγ α΄ καὶ ἥμισυ· ὀποῦ βαλσάμου, οὐγγ β΄· νάρδου, οὐγγ β΄ καὶ ἥμισυ· ταῦτα πάντα σκευάσας καλῶς, χρῶ.

24 κδ΄ Μύρου σκευασία, τοῦ δεκαμύρου λεγομένου· ἔχει:

Ναρδοστάχυος· φύλλου· εὐφόρβιον· πεπέρεως κοινοῦ· κόστου· ἀδάρκης, ἀνὰ οὐγγ ἥμισυ· μαστίχης, οὐγγ ἥμισυ καὶ τέταρτον· ὀποῦ βαλσάμου, οὐγγ α΄· νάρδου, λίτρας ἥμισυ· κηροῦ καθαροῦ· λίτραν α΄ καὶ ἥμισυ· σκευάσας καὶ μαλάξας, χρῶ.

---

**21, 1** Μήλων – δόκιμος] Τὸ διὰ μήλων P | ἡ σύνθεσις X **2** Μήλων κεκαθαρισμένων P L | ἰντιβόσπορον P εὐπατόριον – 3 κόκκινον om. L **3** ἐρυθρὸν P | ἕψει X | ταῦτα om. X | ἕως P ¦ μέχρις L | οὗ X ¦ ἄν L | post διαλυθῇ add. ἐν τῇ ἑψήσει ὅλ[ον] P ¦ δαπανηθῇ X **4** μετὰ om. X | κοσκίνῳ ἀραιῷ X | ἢ P | καὶ – ζωμῷ] πρόσθες X | τοιούτῳ om. P **5** post σάχαρ add. τόσον X | ὅσον – ζωμὸς] ἰσόσταθμον P ¦ ἰσόσταθμον τοῦ ζωμοῦ ἐν τῷ καμπανῷ καὶ πάλιν L ¦ | καμπανίζει] ζυγίζει X | χυλὸς X | ἕψε – 6 σεσεισμένα] ἑνώσας, πρόσθες τὰ ξηρία X | ἄν ἔλθῃ L | καὶ[2]] εἶτα P L **6** εἶθ' οὕτως P ¦ μετὰ ταῦτα L | κεκομμένα – 7 ταῦτα post α΄ 8 P **7** post ταῦτα add. ἤγουν L | ἀληθινοῦ om. X | post στάγ[1] add. α΄ καὶ P | τέταρτον] ἥμισυ καὶ τέταρτον P **8** κολιάνδρου L | καὶ[1] – πάντα om. P | καὶ[1] – 9 χρῶ om. X | ταῦτα πάντα transp. L | καλῶς om. P | post ἀπόθου add. ἀνελόμενον P **9** δίδου – χρῶ om. P | ὁπόταν – χρῶ om. L **22, 1** post φολιάτου add. ἑτέρα X δόκιμος] ἄλλη, ὠνίνησι ὡς ἡ προειρημένη P ¦ om. X | ἡ σύνθεσις X **3** λευκοῦ καὶ ὠμοῦ P | ἀνὰ – κ΄ om. P κόκκων L | τρωγλύτιδος sic! X L **4** κόψας – αὐτοῖς om. X | καλῶς] λεῖου· πλὴν ἐν θυίᾳ P | ἐν L | σὺν αὐτοῖς om. P | ναρδελαίου X | post ναρδίνου add. ὅσον P **5** εἶτα om. L | εἶτα – δὲ] καύσας λέπη καρύου καὶ X | καύσας L **6** τρῖψον L | post πρόσμιξον add. αὐτοῖς L | πρόσμιξον καὶ om. X | καὶ[1] om. P ὀποβαλσάμου X | σὺν αὐτοῖς om. P X L **7** καθαροῦ om. X | καθαροῦ – ἥμισυ om. P | καὶ[2] – χρῶ om. X ἀνελόμενος P ¦ transp. L **23, 1** Μύρου – λεγομένου] Πενταμύρου σκευασία P | καὶ – λεγομένου transp. L λεγομένου om. X | ἡ σύνθεσις X **2** ὀποβαλσάμου X **3** ταῦτα πάντα om. P | ταῦτα – χρῶ om. X | καλῶς om. P **24, 1** Δεκαμύρου σκευασία P | δεκαμύρου λεγομένου transp. L | λεγομένου om. X | ἡ σύνθεσις X **2** εὐφορβίου P X L | κοινοῦ om. P X **3** οὐγγ[1] – τέταρτον] ἐξάγ δ΄ καὶ ἥμισυ P | ὀποβαλσάμου X **4** καθαροῦ om. P X | σκευάσας – χρῶ om. X | καὶ μαλάξας om. P | post μαλάξας add. ταῦτα καλῶς L

κε΄ Μύρου σκευασία, τοῦ εὐώδους λεγομένου· ἔχει: 25

Τερμεντίνης, ὁλκὰς κη΄· κηροῦ καθαροῦ· ὁλκὰς ιδ΄· ὑσσώπου ὑγροῦ· μέλιτος Ἀττικοῦ· μυελοῦ ἐλαφείου· ἀμμωνιακοῦ θυμιάματος· χαλβάνης· ἀφρονίτρου, ἀνὰ ὁλκὰς γ΄· ἐλαίου παλαιοῦ, ξεστίου ἥμισυ· καστόριον, ὁλκὴν α΄ καὶ ἥμισυ· οἴνου καλοῦ, κύαθον α΄· τρίψας ταῦτα πάντα καὶ σκευάσας καλῶς, δίδου ἐπὶ τῆς χρείας χρῶ.

---

**25, 1** σκευασία post εὐώδους P | τοῦ λεγομένου εὐώδους σκευασία· L | λεγομένου om. P | ἡ σύνθεσις X **2** Τρεμεντίνης X | κη΄] ιδ΄ P ¦ | καθαροῦ om. P X ¦ | ιδ΄] ζ΄ P | ὑγροῦ om. P ¦ **3** Ἀττικοῦ] ἀνὰ ὁλκὰς α΄ καὶ ἥμισυ P ¦ om. X ¦ | ἐλάφου X | post ἀφρονίτρου add. δαφνίδων P **4** γ΄] α΄ καὶ ἥμισυ P | παλαιοῦ om. X ¦ ἥμισυ[1]] τέταρτον P | καστορίου X L | καστόριον – ἥμισυ[2] post α΄ 5 P | καλοῦ om. P X ¦ **5** α΄] τρίτον add. τινὲς δὲ καὶ P | τρίψας – χρῶ] ἐμβάλλουσιν ὅσον ὁλκὴν ἥμισυ καὶ τέταρτον.- P ¦ om. X | ταῦτα πάντα] transp. L | χρῶ] om.; add. in nova linea Τέλος τῶν σκευασιῶν τοῦ μαρκιάτου, τῶν μαλαγμάτων καὶ τῶν μύρων. L

Ἀρχὴ σὺν Θεῷ Ἁγίῳ, τοῦ ν´ στοιχείου·

περὶ Νάρδου σκευασιῶν

α´ Νάρδου σκευασία, πάνυ θαυμαστὴ καὶ δόκιμος
β´ Νάρδου σκευασία, ἡ δι᾽ ἑλενίου, ἐπαινετή
γ´ Νάρδου σκευασία, ὡς ἡ πρὸ τούτου, θαυμαστή
δ´ Νάρδου μύρου σκευασία, ἡ διὰ καλάμου ἀρωματικοῦ
ε´ Νάρδου σκευασία, ἡ διὰ στύρακος· δόκιμος
ϛ´ Νεφρῶν ἑλκωθέντων, ἄκρως ὠφελεῖ
ζ´ Νεφρῶν ἑλκωθέντων, ποτὸς δόκιμος
η´ Νεφριτικοῖς ποτὸς πάνυ ἀπαράβατος
θ´ Νεφριτικός, τροχίσκος καὶ πρὸς κύστεως διαθέσεις
ι´ Νεύρου τρωθέντος καὶ τῆς δι᾽ αὐτοῦ φλεγμονῆς ἴασις
ια´ Νομὰς καὶ πάσας διαθέσεις, περικόπτει
ιβ´ Νομὰς καὶ πάσας διαθέσεις καὶ πρὸς ψώρας καὶ λειχῆνας
ιγ´ Νίτρον εὔχρουν, τὸ σῶμα ποιοῦν· θαυμαστὸν
ιδ´ Νίτρον πρὸς τίλας καὶ οὐλὰς παντοίας

---

**P, 1** Ἀρχὴ – 2 σκευασιῶν om. X | σὺν – Ἁγίῳ om. P | post στοιχείου add. Πίναξ τῶν ἀπὸ τοῦ ν´ στοιχείου ἀρχομένου σκευασιῶν L **2** περὶ – σκευασιῶν om. P **3** post Νάρδου add. μύρου P | πάνυ om. X | πάνυ – δόκιμος om. P | καὶ δόκιμος om. X **4** ἡ – ἐπαινετή] ἄλλη P | ἐπαινετή om. X **5** ὡς – θαυμαστή] ἑτέρα P θαυμαστή om. X **7** post Νάρδου add. ἄλλου μύρου P | ἡ – δόκιμος om. P | δόκιμος om. X **8** ϛ´] postea spatium 6 linearum relinquit et novum capitulum περὶ Νεφρῶν incipit; α´ P | ἄκρως ὠφελεῖ] ὠφέλιμον X **9** ζ´] β´ in capitulo περὶ Νεφρῶν P | δόκιμος om. P X **10** η´] γ´ in capitulo περὶ Νεφρῶν P | ποτὸς πάνυ om. P | πάνυ ἀπαράβατος om. X **11** θ´] δ´ in capitulo περὶ Νεφρῶν P ¦ ι´ X **12** ι´] postea spatium 7 linearum relinquit et novum capitulum περὶ Νεύρων incipit; α´ P ¦ θ´ X **13** ια´] β´ in capitulo περὶ Νεύρων P περικόπτει om. P ¦ κόψαι X **14** ιβ´] γ´ in capitulo περὶ Νεύρων P | Νομὰς – πρὸς] Νίτρον συγκρίνων καὶ πάντα τὰ ἐν τῷ σώματι, οἵον κνησμούς P | καὶ$^{2}$ – λειχῆνας] τὸν νίτρον λεγόμενον X | post λειχῆνας add. καὶ ἀλφούς P **15** ιγ´] δ´ in capitulo περὶ Νεύρων P | post Νίτρον add. πρὸς καθαρὸν καὶ P | θαυμαστὸν om. P X **16** ιδ´] ε´ in capitulo περὶ Νεύρων P | τήλους X | παντοίας om. P

Ἀρχὴ σὺν Θεῷ Ἁγίῳ, τοῦ ν΄ στοιχείου·

περὶ Νάρδου σκευασιῶν

Τὴν τοῦ μ΄ πραγματείαν, καλῶς διεξελθόντες, δεῦρο καὶ ἐπὶ τὴν τοῦ ν΄ στοιχείου, σεμνῶς ἀρχὴν ποιησώμεθα· ὧν πρῶτον τῶν κεφαλαίων, ἡ τοῦ νάρδου μύρου σκευασία ἐστίν· ἔστι δὲ δόκιμον· ἔχει:

α΄ Νάρδου σκευασία· ἔχει ἡ ἅπασα σκευασία, ξεστία ε΄· ὡς ἐν Κυζίκῳ καὶ ἅπαν μία ἐμβολὴ α΄· ἤγουν· 1

Ἀσπαλάθου, οὐγγ α΄ καὶ ἥμισυ· καλάμου ἀρωματικοῦ, οὐγγ β΄· σαμψύχου· ἴρεως Ἰλλυρικῆς· πεπέρεως, ἀνὰ οὐγγ α΄ καρδαμώμου, οὐγγ β΄· βράθυος· ἑλενίου· ἀριστολοχίας μακρᾶς, ἀνὰ οὐγγ α΄ καὶ ἥμισυ· σέσελι, οὐγγ α΄· ξυλοβάλσαμον, οὐγγ β΄· ὕδωρ τὸ ἀρκοῦν· ἐλαίου σπανοῦ, οὐγγ ε΄· ταῦτα κόπτοντα, ὥστε θλασθῆναι καὶ γενέσθαι πλατέα καὶ λεπτότερα καὶ βρέχοντα εἰς ὕδωρ, ἐπὶ ἡμέραν α΄ καὶ οὕτως ἕψονται σὺν τῷ ἐλαίῳ μαλθακῷ πυρὶ· ἐπὶ ὥρας γ΄ ἢ ς΄:

Ἐμβολὴ β΄· ἔχει:

Σχοίνου ἄνθος, οὐγγίαν α΄ καὶ ἥμισυ· καρεοφύλλου· κασίας· καρποβλασάμου· μαρζανάβου· Κελτικῆς· κόστου· ἀμώμου· ξυλοκασίας· ναρδοστάχυος, ἀνὰ οὐγγ α΄ καὶ ἥμισυ· ξυλοκαρεοφύλλου, οὐγγ α΄· τρίψας καλῶς, ἔμβαλε ὕδατι τὸ ἀρκοῦν καὶ πάλιν ἕψε, ὡς τὸ πρῶτον ὁμοίως:

Ἐμβολὴ γ΄· ἔχει:

Ζιντζιβέρεως· βδελλίου, ἀνὰ οὐγγ α΄· λιβάνου· ἀλόης ξανθῆς, ἀνὰ οὐγγ ἥμισυ· κρόκου, οὐγγ τέταρτον· μαστίχης, οὐγγ α΄· στακτῆς λεπτῆς, οὐγγ α΄ καὶ ἥμισυ· ὀποῦ βαλσάμου, οὐγγ ἥμισυ· τρίψας καλῶς, δεῦσον μεθ’ ὕδατος τὸ ἀρκοῦν καὶ ἕψε ὥρας β΄· μετὰ δὲ τὸ ἆραι τὸν λέβητα ἀπὸ τοῦ πυρός· ἐπίρριψον τὸ πέπερι χνοῶδες καὶ τὸ

---

**0, 1** Ἀρχὴ – 2 σκευασιῶν Περὶ σκευασιῶν νάρδου καὶ νεφριτικῶν ἑλκώσεων καὶ νομῶν καὶ νίτρου L **3** post μ΄ add. στοιχείου P L | διεξελθῶντες ἀρίστως P | διελθόντες X | τὴν om. P | post στοιχείου add. τὴν πραγματείαν δηλώσωμεν· πρὸς τέρψιν καὶ εἰδοναι τοὺς ὁρῶσιν ἀσφάλειαν δὲ τῶν ἐντυγχανόντων ὡραῖον γὰρ καὶ τερπνὸν ἐστὶν ἡ τῶν στοιχείων ἐφεξῆς σύνθεσις ἀρχὴν δὲ τοῦ παρόντος στοιχείου τὰ νῦν ποιοῦμεν τὰ ἐν αὐτὰς ὀνομασίας πολοῦμεν P ¦ om. X ¦ **4** σεμνῶς] ἔλθωμεν καὶ τῶν ἀπὸ τούτου τὴν L | σεμνῶς ἀρχὴν transp. X | σεμνῶς – ποιησώμεθα om. P | ποιησώμεθα – τοῦ] ἐχόντων σκευασιῶν, τοῖς φιλομάθεσιν εἰς ὠφέλειαν παράσχωμεν ὧν πρώτην, τὴν L | α΄ P | τῶν κεφαλαίων om. P | ἡ] περὶ P | post μύρου add. τὴν σαφήνειαν P ¦ om. L | σκευασία – 5 δόκιμον] τῆς διδασκαλίας ἐκθέμεθα, τοῦ Κ[υρίο]υ συναρωγοῦντες ἡμῖν. P **5** ἐστίν – δόκιμον] ἧς X | ὠφέλιμον καὶ δοκιμωτάτην οὖσαν προεθήκαμεν. L | ἡ σύνθεσις X **1, 1** post Νάρδου add. μύρου P L | Νάρδου σκευασία om. X | ἔχει] τὸ δὲ μύρον ἤγουν P ¦ | ἡ – σκευασία[2]] ὁ ἅπας σταθμὸς τῆς σκευασίας P ¦ | post σκευασία[2] add. ὑπάρχει P | πᾶν X | μία om. X **2** ἔχει: P **4** Ἰλλυρικῆς om. X | post ἑλενίου add. ἀνὰ οὐγγ α΄ καὶ ἥμισυ P **5** σεσέλεως X L | ξυλοβαλσάμου X L **6** ὕδατος X L | σπανιακοῦ P ¦ om. X ¦ σπανικοῦ L | κόπται P ¦ κόψας L | σὺν θλασθέντα post λεπτότερα X **7** καὶ[1] – καὶ[2] om. L | βρέχε P L | ἐν τῷ ὕδατι L | ἐπὶ om. X ¦ | μίαν P ¦ | ἕψε L **8** τρεῖς P ¦ **9** δευτέρα P ¦ | ἡ σύνθεσις X **10** σχοινάνθης X ἄνθους P L ¦ | γαρεοφύλλου P ¦ καρυοφύλλου X | καρποῦ βαλσάμου P **12** ξυλοκαρυοφύλλου X | post τρίψας add. ταῦτα L | τρίψας – ἔμβαλε om. P X ¦ | βάλε add. ἐν L | ὕδατος P X | τῷ ἀρκοῦντι L | τρίψας X **13** ἕψει X | ὁμοίως om. P X **14** ἡ σύνθεσις X **15** ἡπάτιδος P ¦ om. X **16** οὐγγ τέταρτον] ἐξάγ α΄ καὶ ἥμισυ P | ὀποβαλσάμου X **17** post τρίψας add. ταῦτα L | τρίψας καλῶς δεῦσον om. P | τρίψας – μεθ’ om. X | καὶ P ¦ μεθ’ L | τοῦ ἀρκοῦντος L | καὶ om. P ¦ τρίψας X | ἕψει X **18** εἶτα ἄρας X | τὸν λέβητα om. X | κάκκαβον P | ἔμβαλε P ¦ ῥῖψον X

ὀποβάλσαμον ἔσωθεν καὶ σκεπάσας ἐπὶ ὥρας γʹ· τὸν λέβητα καὶ τότε σύναξον· ἐκθήσομαι καὶ τὸν τρόπον τῆς ἑψήσεως· ὅπως ἂν μηδὲν, ἐλλεῖπον· τὰ μὲν οὖν εἴδη πάντα, νεαρὰ καὶ δόκιμα· ἐπιλέγεσθαι· χρεῖ δὲ τὸ ἔλαιον, μέσης ὀμφακίζον· τοιοῦτον γὰρ, τὸ Κυζικηνόν· ἐπὶ δὲ ἀρχομένου πεπανθῆναι, τὴν ἐλαίαν τρίβουσιν καὶ διὰ τοῦτο παχύτερον ἐργάζονται τὸ ἔλαιον· ὥστε εἰσδεξαμένων τῶν εἰδῶν, μόνιμον, ἀντὶ παρακατέχειν καὶ μὴ ῥαδίως ἐξίτηλα γίνεσθαι· διαπνεόμενα· τὸν δὲ οἶκον· εἴωθεν μὲν ἔχειν εὐχάρας κατασκευασμένας, ἐφ᾽ αἷς ἐπιτίθενται τὰ χαλκεῖα, ἔξωθέν τε, τριμμένα, ἔνθα εἰσὶν αἱ ἐσχάραι καὶ τὰ ξύλα παράβαλε, λεπτὰ καὶ ξηρά, ἄγαν ὥστε μὴ ἐφιέναι καπνόν· μήτε πλησιάζειν τὸ χαλκίον· μόνον δέ, ὀλίγην φλόγα ἀφικνείσθω, πρὸς τὸ χαλκίον· ὅπερ ἔχει τὸ ὕδωρ· προθερμανθῆναι δεῖ· πρὶν τὸ δεύτερον τὸ ἔχων τὸ ἔλαιον ἐμβληθῆναι· δεῖ γὰρ τὸν βουλόμενον· εὐώδη τὴν νάρδον καὶ ἄκαυστον, ἑψῆσαι δυσὶ χαλκείοις χρῆσθαι· ὥστε ἀπὸ διπλώματος· τὴν ἕψησιν γίνεσθαι· βρέξαντα δὲ τὰ εἴδη· ὕδατι καθαρόν, ὥστε διάβροχα γινόμενα· οὕτως ἐμβάλλειν τῷ χαλκείῳ τῷ ἐλαίῳ, κινεῖ δι᾽ ὅλου, σπάθῃ ξυλίνῃ· ἑψήσαντα δέ, τὰ πρῶτα καθελὼν τοῦ πυρός, διαψύχειν χρεῖ καὶ τῇ ἑξῆς, ἀπὸ ὁρίσαντα τὸ ὕδωρ· πάλιν ἐμβαλεῖν τῶν εἰδῶν, τὴν δευτέραν ἐμβολὴν προβεβρεγμένα καὶ ταῦτη ὕδατι καὶ ἑψεῖν ὁμοίως καὶ πάλιν τὴν ἑξῆς ἀποσειρώσαντα, ἔμβαλε τὴν τρίτην ἐμβολήν, προβεβρεγμένα καὶ ἑψεῖν ὕδωρ μέντοι καὶ αὐτῷ τὸ ἔλαιον· ἐμβάλλοντα καθ᾽ ἑκάστην ἕψησιν· τὸ δέκατον τοῦ ἐλαίου, ἐπιπλέον γάρ, τῷ ὕδατι τὸ ἔλαιον· οὐκ ἂν καυθῇ εἴη τὸ μέντοι ὕδωρ, πρὸς τὴν ἕψησιν τοῦ ἐλαίου· ἔμβαλε νεαρόν, μέχρι τῆς τελευταίας διαθήκης καὶ οὕτως βʹ· ὥρας ἑψεῖν τὰς ἐπιτελεῖ· εἰ γὰρ πλέον ἑψήσας, προεψημένον τὸ ἔλαιον· ῥαδίως καυθήσεται· ὥστε τινές, μίαν ὥραν ἕψουσιν· φόβῳ τοῖς μετὰ πολλοῦ καμάτου ἀποτυχίας, καθελόντες ἀπὸ τοῦ πυρός, ἐμβάλλουσιν τὸ πέπερι καὶ τὸ ὀποβάλσαμον· ἔτι, ζέων τὸ ἔλαιον καὶ σκεπάζουσιν καὶ τῇ τρίτῃ ἡμέρᾳ συνάγουσιν καὶ ἀποτιθέασιν ἐν ἀγγείῳ.

**19** ἔσωθεν om. P | πόμεθα P | τρεῖς P L | τὸν λέβητα om. P | καὶ[2] om. X | εἶτα L | post σύναξον add. εἰ δὲ βουλητέον?σι ἐστὶν P ¦ **20** post ἑψήσεως add. Αὕτη ἐστὶν ἡ σκευασία καὶ ἡ ἐπιμελούσα P ¦ add. καὶ τὴν κατασκευὴν καὶ τὴν πᾶσαν ἐπιμέλειαν X | ὅπως – ἐλλεῖπον] καὶ τῆς κατασκευῆς καὶ πάσης τῆς περὶ αὐτὴν ἐπιθυμίας, ὅπως ἂν μηδὲν ταύτης ἐλλιπὲς εἴη L | ἂν om. X **21** ἐκλέγου X | post χρεῖ add. σπουδάζειν P ¦ χρὴ X L | μέσως X ¦ add. κράσεως εἶναι L | ὀμφακίζειν X **22** ἐπὶ δὲ om. X | ἀρχομένων γὰρ τῶν ἐλαίων πεπαίνεσθαι L | ἀρχομένης τῆς πεπαίνεσθαι X | τῆς ἐλαίας X L **23** ἐργάζεται P | τὰ εἴδη L **24** γίγνεσθαι X διαπνεόμενα post ῥαδίως L | εἴωθεν μὲν om. X ¦ | εἴωθεν – 25 ἔχειν transp. L **25** ἐσχάρας X L | εὐχάρας κατασκευασμένας transp. X | χαλκία L | τρυπημένα L **26** ἀνέσχαραι S | παράβαλε om. X | ἀφιέναι L **27** χαλκεῖον X | μόνη L | μόνον δέ om. X | φλόξ L | ἔχε X **28** χαλκεῖον X | ἔχον X L **29** ἐμβληθῇ X | post εὐώδη add. ποιῆσαι X | ἄκαυστον X L **30** κεχρῆσθαι X | διπλῶς L | βρέχον P ¦ βρέξας L | οὖν L | post εἴδη add. ἐν L **31** καθαρῷ X L | γίνεσθαι add. καὶ P ¦ γενέσθαι X ¦ παντελῶς ποιῆσαι L | ἔμβαλε P L | post χαλκείῳ add. καὶ ἕψε σὺν L | τὸ ἔλαιον add. δὲ X | κινῶν L **32** διὰ παντὸς post ξυλίνῃ X ¦ | ἑψήσας L | post καθελὼν add. ἀπὸ P ¦ καθελεῖν X | διάψυξον L | χρὴ P X ¦ om. L **33** χωρίσαντα X ¦ ἀποσειρώσας L | post ἐμβαλεῖν add. χρὴ P ¦ ἐμβάλειν X ¦ ἔμβαλε L | τὴν – ἐμβολὴν post ἐμβαλεῖν L **34** ταῦτα X ¦ αὐτὰ ἐν L | post ὕδατι add. καλῶς ὡς τὰ πρότερα, οὕτως L | ἕψειν X ¦ ἕψε L | πάλιν post ἀποσειρώσαντα P | πάλιν – ἀποσειρώσαντα] τῇ ἑξῆς ἀποσειρώσθαι L | τῇ X | τῇ δὲ ἕξις P | σειρώσαντα X **35** post ἐμβολήν add. τῶν εἰδῶν L | προβεβρεγμένα L | post καὶ[1] add. αὐτὰ καὶ L | ἕψειν X ¦ ἕψε add. ἔμβαλε δὲ καθ᾽ἑκάστην ἕψησιν L μέντοι – τὸ] καὶ L | αὐτῷ αὐτὸ P ¦αὐτὸ X **36** ἐμβάλλοντα – ὕδατι] πλέον μέντοι τοῦ ἐλαίου, ἔστω τὸ ὕδωρ ἵνα μὴ καυθεῖ L **37** post ἔλαιον add. ἔστω ὥστε P | καὶ νεαρὸν καθ᾽ ἑκάστην ἕψησιν L | καυθεῖ P | καυθείη X | νεαρόν] τὸ ὕδωρ L **38** συνθήκης L | post οὕτως add. ἐπὶ P ¦ add. ἕψε L | βʹ ὥρας transp. P | ἕψει X καὶ μὴ L **39** ἑψήσεις X ¦ ἕψησις L | ὥστε] om. L ¦ **40** τῆς X L ¦ | τὸν πολὺν κάματων L **41** post τὸ[2] add. ἔλαιον ἤγουν τὸ P | ζέοντα P ¦ ζέοντος X L | τοῦ ἐλαίου X L | post καὶ[2] add. κινοῦσιν ἐπιμελῶς, ὥστε ἑνωθῆναι καὶ P X ¦ add. κινοῦσιν ἐπιμελῶς, ὥστε ἑνωθῆναι· εἶτα L ¦ **42** ἀποτίθοντι add. αὐτὰ P ¦ ἀποτίθενται X

β′ Νάρδου σκευασία, ξεστίων ἕξ· πάνυ θαυμαστή· ἔχει: 2

Ἑλενίου, οὐγγ δ′ καὶ ἥμισυ· ἴρεως, οὐγγ γ′· ἀσπαλάθου, λίτρ ἥμισυ· κυπέρεως, οὐγγ α′ καὶ ἥμισυ· ξυλοκασίας· σχοίνου ἄνθος· νάρδου Κελτικῆς· ξυλοβαλσάμου, ἀνὰ οὐγγ γ′ καὶ οὕτως, ἕψησον.

Ἐμβολὴ β′

Καρποβαλσάμου, οὐγγ α′ καὶ ἥμισυ· καρδαμώμου, οὐγγ α′· σαμψύχου, οὐγγ γ′· κασίας, οὐγγίας β′· κόστου· στύρακος καλαμίτου· ἀμώμου, ἀνὰ οὐγγ γ′·

Ἐμβολὴ γ′

Φύλλου βουχάδος· ναρδοστάχυος· σωρῶα· καρεοφύλλου· καλάμου ἀρωματικοῦ· ζιντζίβερης βασιλικῆς· στύρακος, ἀνὰ οὐγγ α′ καὶ ἥμισυ· κάρυα Ἰνδικά· ζαρνάβῳ, ἀνὰ οὐγγ γ′· ξυλοκαρεοφύλλου, οὐγγ α′· ὀποῦ βαλσάμου, οὐγγ α′ καὶ ἥμισυ· σκεύαζε ὡς τὸ πρὸ τούτου καὶ χρῶ.

γ′ Νάρδου σκευασία, ξεστίων γ′· ἔχει: 3

Ἑλενίου κεκομμένου καὶ τοῦ δάσους, ἐπιτετιναγμένου, ὡς καθὼς αὐτὸ εἶναι, οὐγγ δ′· κυπέρεως καθαροῦ· ὁμοίως κεκομμένου, ὡς τοῦ δάσους αὐτοῦ ἀποτιναχθῆναι, οὐγγ ι′· τὴν κύπεριν, πρὸ μιᾶς, ἐν ὕδατι βρέξον· τὸ δὲ ἔλαιον, πρὸ ὡρῶν δ′· τοῦ μέλι ἑψεῖν ἐν ὕδατι βρέχειν· εἶτα ἐπιθεὶς ὁμοῦ τὸ ἔλαιον καὶ τὴν κύπεριν, ἕψε μεθ’ ὕδατος, ἕως ζέσεως, συμμέτρου· τὰ δὲ ἐπιπολάζοντα ἔκβαλε καὶ οὕτως ἐπίβαλε ἐλαίου καλλίστου, ξεστίου γ′· ἤτοι λίτρ δ′ καὶ ἥμισυ καὶ κατασπαθήσας, ἔασον καίεσθαι· ὅταν δὲ ἐγγὺς γένηται τοῦ κοχλάσαι, ἐπίβαλε ἔσωθεν· ἁλὸς ἄνθος κεκομμένον, οὐγγ α′ καὶ ἔασον, ἕως οὗ κοχλάσαι ἐν τῷ πυρὶ καὶ πάλιν κίνει κατασμίγων καὶ πάλιν, ἔα κοχλάσαι καὶ μηκέτι καῖε· ἀλλὰ ἔα διανυκτερεῦσαι, ἐπὶ τῆς τέφρας· τῇ δὲ ἑξῆς, ἀποκόγχιζε·

β′ οἰκονομία· ἔχει:

Ξυλοβάλσαμον λαβών, οὐγγ δ′· κόψον καὶ ἀποτετιναγμένον τοῦ δάσους αὐτοῦ· ἔμβαλε μετὰ τοῦ αὐτάρκους ὕδατος, ἐν τῷ λέβητι καὶ ζέσας, ἐπίβαλε τὸ ἠθμένον ἔλαιον· ἕψε ἕως οὗ δόξει καλῶς· κινῶν ἔχων ἐκ διαστήματος καὶ ἔα διανυκτερεῦσαι, ὑποσύρας

**2, 1** post σκευασία add. ἄλλη τὸ πᾶν τῆς σκευῆς P ¦ add. ἡ δι’ ἑλενίου X | ς′ L ¦ | πάνυ θαυμαστή om. P X | ἡ σύνθεσις X **2** κυπέρου L **3** σχοινάνθ[ης] X | ἄνθους L **4** καὶ οὕτως om. P | ἕψε P ¦ ἕψει X **5** Ἕψησις P post β′ add. σύνθεσις X **6** Καρποῦ βαλσάμου P **7** post γ′ add. ἕψε P ¦ **8** Ἕψησις τρίτη P ¦ | post γ′ add. ἡ σύνθεσις X **9** σαρόα X | γαρεοφάλου add. ἀνὰ οὐγγ α′ καὶ ἥμισυ P ¦ καρυοφύλλου X **10** ζζ′′X | βασιλικῆς om. X ¦ βασιλικοῦ L | καρύου ἰνδικοῦ X ¦ καρύων ἰνδικῶν L **11** ξυλοκαρυοφύλλου X | ὀποβαλσάμου X | καὶ σκευάσας L **12** καὶ χρῶ om. X **3, 1** post σκευασία add. ἑτέρα ἐστὶν δὲ τὸ πᾶν τῆς σκευασίας P ¦ add. ὡς ἡ πρὸ ταύτη X | post γ′[2] add. δόκιμος L | ἡ σύνθεσις X **2** καθαρὸν L | ἐστὶν X **3** κυπέρου L | post καθαροῦ add. οὐγγ δ′ P ¦ om. X | ὁμοίως om. X | καὶ ἀποτετιναγμένου L | εἰς P | αὐτοῦ om. P ¦ αὐτῆς X | post ἀποτιναχθῆναι add. τινὲς δὲ ἐξ αὐτοῦ P ¦ ἀποτιναχθείσης X ¦ καθαροῦ εἶναι L **4** τὸ κύπερον L | post μιᾶς add. ἡμέρας L | ἐν[1] – βρέξον transp. L | πρὸ[2] – δ′ post βρέχειν 5 L | τή X | ὅταν μέλλεις L | μέλλον< τος> P ἕψει X L | ἐν[2] – 5 βρέχειν] βρέχε ἐν ὕδατι L **5** βρέχων X | ἐπιθὲς L | τὸν κύπερον L | ἕψει X | μετὰ τοῦ P ¦ μεθ’ X L **6** post ἐπίβαλε add. οἷον P | καλλίστου om. X **7** ἤτοι – ἥμισυ om. P | post δὲ add. ἴδης L | ἐλθὸν L **8** πρόσθες X | ἔσωθεν om. P | ἄνθους X L | κεκομμένον om. P ¦ κεκομμένου X | ἕως οὗ om. P | ἄν L κοχλάσαι[2]] κοχλάσῃ L **9** ἐν – πυρὶ om. P | post κίνει add. αὐτὸ L | καταμίσγων L | καὶ[2]] εἶτα P | ἔα[1]] ἔασον P | ἔα[2]] ἔασον L **11** ante β′ add. Ἡ P ¦ δευτέρα L ¦ | ἔχει om. L ¦ **12** Ξυλοβάλσαμον λαβών transp. P L λαβὼν om. X | οὐγγ δ′ post αὐτοῦ P | κόπται P | καὶ ἀποτινάξας αὐτοῦ τὸ δάσος, κόψον καὶ L **13** ζέσας X τοῦ om. X | εἰς P | ἐν – ζέσας om. X | τὸν κάκκαβον P | ἐστυμμένον P X L **14** ἕψει X | ἂν L | δόξῃ X ¦ δόξησοι L | κινῶν ἔχων transp. P ¦ ἔχειν κινῶν τοῦτο L ¦ | εἶτα L | ἔασον L | ἔα διανυκτερεῦσαι post πῦρ L ἀποσύρας P ¦ ἀποσειρώσας X

τὸ πῦρ καὶ τῇ ἐξῆς, ἀποκόγχιζε· εἶτα, ἀρωμάτιζε οὕτως· λαβὼν κασίας, οὐγγ δʹ· κόπτε καὶ σῆθε, ἔσωθεν τούτου· λαβὼν αὔταρκες ὕδωρ καὶ τὸ ἔλαιον, τὸ ἐστυμμένον καθαρόν, ἕψε κινῶν· ἵνα μὴ ἐγκαυθῶσιν τὰ ἀρώματα· ὅταν δὲ σοι δόξει καλῶς ἔχειν, καθελὼν ἐκ τοῦ πυρός, σπάθιζε ἐπιμελῶς· ἕως ψυγῇ καὶ φιμῶσαι, ἔασον διανυκτερεῦσαι καὶ τῇ ἑξῆς, ἀποκόγχιζε, καθαρῶς· μὴ ὕδωρ παραδραμεῖν καὶ βαλὼν εἰς τὴν βῆσσαν, ἐπίβαλε ἔσωθεν, ὀποῦ βαλσάμου, οὐγγ ἥμισυ καὶ συνταράξας ἐπιμελῶς, ἀπόθου ἐν ἀγγείῳ καὶ χρῶ.

4 δʹ Νάρδου μύρου σκευασία· ἕψησις αʹ· ἔχει:

Ἐλαίου ὀμφακίτιδος, λίτρ βʹ καὶ ἥμισυ καὶ τέταρτον· ἀσπαλάθου οὐγγ αʹ· καλάμου ἀρωματικοῦ οὐγγ ἥμισυ· ἴρεως οὐγγ αʹ· σχοίνου ἄνθος· ἑλενίου· κυπέρου, ἀνὰ οὐγγ αʹ· ὕδατος πηγαίου, λίτρ αʹ καὶ ἥμισυ· σκευάσας καλῶς, ἔασον·

Ἐμβολὴ βʹ· ἔχει:

Ναρδοστάχυος· φύλλου, ἀνὰ ὁλκὴν αʹ· κόστου οὐγγ ἥμισυ καὶ τέταρτον· κασίας· ξυλοκασίας· ἀμώμου, ἀνὰ οὐγγ ἥμισυ· ὕδατος πηγαίου, λίτρ αʹ καὶ ἥμισυ· ὀποῦ βαλσάμου, οὐγγ ἥμισυ· ταῦτα πάντα τρίψας καὶ δεύσας καὶ σκευάσας καλῶς εἰς σύστασιν χρείας, ἀπόθου ἐν ἀγγείῳ καὶ χρῶ.

5 εʹ Νάρδου σκευασία, δόκιμος· ἔχει:

Ἐλαίου κοινοῦ, καθαροῦ· λίτρ δʹ· λιβανωτίδος βοτάνης· σμύρνης· σχοίνου ἄνθος, ἀνὰ λίτρ ἥμισυ· φύλλου· ναρδοστάχυος· ἀμώμου· στύρακος ἀνὰ οὐγγ ἥμισυ· ἀσπαλάθου, λίτρ ἥμισυ· ἀριστολοχίας μακρᾶς, λίτρ βʹ· κυπέρεως, λίτρ ἥμισυ· ὕδατος πηγαίου λίτρ ιʹ· ἑλενίου, οὐγγ γʹ· ἀσφοδέλου, λίτρ γʹ· ὕπνου τοῦ σφάγνου· ξυλοβαλσάμου· τοῦ ἴρεως, ἀνὰ λίτρ ἥμισυ· καρδαμώμου λίτρ αʹ· κόστου, οὐγγ αʹ καὶ ἥμισυ· ἀμυγδάλων πικρῶν κεκαθαρμένων, οὐγγ ἥμισυ· ταῦτα πάντα κόψας καὶ δεύσας καὶ σκευάσας καλῶς, χρῶ δὲ ἐπὶ τῆς χρείας· ὕδατι σὺν αὐτῷ συγκεράσας, χρῖε ἐν βαλανείῳ, σμήχου.

---

**15** ἐξεὶς P | οὕτω X | post δʹ add. ὁμοίως P **16** ἔσωθεν τούτου om. P | post τούτου add. καὶ X | βαλὼν L **17** ἕψει X | ἐγκαυθήσωνται P ¦ ἐκκαῶσι L | δόξῃ X L | ἀπὸ P **18** post ἕως add. οὗ X L | φιμῶσαι om. X ¦ σκεπάσας L | ἔα P | ἐξεὶς P **19** post καθαρῶς add. ὥστε ἵνα P | παραδράμη P L ¦ παρενδράμῃ X ¦ add. ὕδωρ L | ἔμβαλλε P ¦ λαβὼν X | ἔμβαλε L | εἶτα ἔμβαλε P **20** ὀποβαλσάμου X | post βαλσάμου add. ὅσον P post ἐπιμελῶς add. ἀνελόμενον, P | ἐν ἀγγείῳ om. P | ἐν – χρῶ om. X | φύλαττε ἐπὶ τῆς χρείας. L **4, 1** μύρου om. X | ἕψησις αʹ om. P ¦ ἡ διὰ καλάμου ἀρωματικοῦ X | ἡ σύνθεσις X **2** ὀμφακίζοντος L | ξέστας P | καὶ τέταρτον om. P | post αʹ add. καὶ ἥμισυ P **3** σχοινάνθης X ¦ ἄνθους σχοίνου L ¦ **4** πηγαίου om. P ¦ ξέστας P | καὶ – ἔασον om. P ¦ | σκεύασον X | καλῶς ἔασον om. X **5** ἡ σύνθεσις X ¦ om. L **6** οὐγγ – τέταρτον] ἐξαγ δʹ καὶ ἥμισυ P **7** πηγαίου om. P ¦ | λίτρ – ἥμισυ$^{2}$] ξέστην αʹ P | ὀποβαλσάμου X **8** ταῦτα – καὶ$^{2}$ om. P X | καλῶς – 9 καὶ om. P | καλῶς – 9 χρῶ om. X **9** post σύστασιν add. τῆς προσηκούσης L | ἐν ἀγγείῳ om. L **5, 1** post Νάρδου add. ἑτέρα L | δόκιμος om. P ¦ ἡ διὰ στύρακος X **2** κοινοῦ om. X | κοινοῦ καθαροῦ] καλοῦ P | τῆς πόας add. λίτρ ἥμισυ P | ζζʹʹ P | σχοινάνθ<ης> X ¦ transp. L **3** ναρδοστάχυος P L **4** κυπέρου X L | πηγαίου om. P **5** τοῦ$^{2}$ om. P X L | τοῦ ἴρεως om. P | post ἴρεως add. λίτρ ἥμισυ post αʹ 6 P **7** ταῦτα πάντα om. P | ταῦτα – καὶ$^{2}$ om. X | σήσας P | καὶ$^{2}$ – δὲ] ἔχει P | καλῶς χρῶ δὲ om. X | δὲ ἐπὶ transp. L **8** σὺν αὐτῷ om. P X ¦ αὐτὸ post συγκεράσας L | χρῖε] ἐπίχριε post σμίχου L

ς΄ Νεφρῶν ἑλκωθέντων, ἄκρως ὠφελοῦν· ἔχει: 6

Μήκωνος λευκοῦ, Πέρσης· ἀμύλου· μύρτων μελανῶν, ἀνὰ ὁλκὰς β΄· ᾠοῦ ὀπτοῦ τῆς λεκίθου, τὸ τέταρτον τῶν τοιούτων εἰδῶν· πάντα ὁμοῦ σὺν λειωθέντα καλῶς· πινέσθω παρὰ πλησίως καὶ οὕτως χρῶ.

ζ΄ Νεφρῶν ἑλκωθέντων, ποτὸν δόκιμον· ἔχει: 7

Στροβίλων ς΄ τῶν καρπῶν καθαρῶν· ἀμύγδαλα πικρὰ λελεπισμένα· α΄ καὶ ἥμισυ· σικύου ἡμέρου σπέρμα κεκαθαρμένου, κόκκους ιε΄· κρόκον βραχύτατον, ὅσον χρῖσαι ταῦτα· τρίψας ταῦτα πάντα καλῶς, δεῦσον μετὰ αἰγείου γάλακτος ἢ Κρητικοῦ γλυκέος τὸ ἀρκοῦν καὶ σκευάσας δίδου καθ' ἣν ἡμέραν ἐξ αὐτοῦ νῆστις πιεῖν.

η΄ Νεφριτικοῖς ποτὸν ἀπαράβατον· ἔχει: 8

Σαγαπηνοῦ· ὅσον ἐρεβίνθου τὸ μέγεθος· τρίψας καλῶς, δεῦσον μετ' εὐκράτου τὸ ἀρκοῦν καὶ δίδου πιεῖν, πρωὶ νῆστις· χρῶ.

θ΄ Νεφριτικός, τροχίσκος· πρὸς τοῖς ἐν τοῖς νεφροῖς καὶ κύστεως διαθέσεις καὶ πύον οὐροῦντας καὶ ἕλκη καὶ ψωριάσεις· ἔχει: 9

Ὀπίου, ὁλκὴν α΄ καὶ ἥμισυ· σικύου σπέρμα ἡμέρου, ὁλκὰς ς΄· σελίνου σπέρμα, ὁλκὰς γ΄· στροβίλων κοναρίων· μαράθρου σπέρμα καὶ λαπάθου, ἀνὰ ὁλκὴν α΄ καὶ ἥμισυ· στροβίλων κεκαυμένων, ὁλκὰς β΄· βοτάνης φυσαλλίδος τῶν κόκκων, ὁλκὰς β΄ καὶ ἥμισυ· λεῖα ταῦτα πάντα ποιήσας, ἀναλάμβανε γλυκεῖ Κρητικῷ τὸ ἀρκοῦν καὶ πλάττε τροχίσκους, ὅσον δραχμὴν α΄ καὶ δίδου ἀπυρέτοις ἐξ αὐτοῦ μετὰ γλυκέος, κυάθοις γ΄· πυρέττουσιν δέ, δίδου μεθ' ὑδρομέλιτος, χλιαρῷ· χρῶ.

---

**6, 1** ς΄] α΄; postea spatium 10 linearum vacuum relinquit et novum capitulum περὶ Νεφρῶν ἑλκωθέντων incipit P | ante Νεφρῶν add. Ἔτι τοῦ ν΄ στοιχείου· περὶ P | ὠφέλιμον X ¦ σκευασία ὠφέλιμος L ¦ | ἡ σύνθεσις X **2** λευκῆς P X | Πέρσης om. X ¦ Περσικοῦ L | μελανῶν om. X | ᾠοῦ – 3 λεκίθου transp. L | λεπτοῦ X **3** λεκύθου X L | τῶν – εἰδῶν om. P | συλλειωθέντα X | λειώσας L | καλῶς om. P | πινέσθω – 4 χρῶ] δίδου πίνειν τοῖς πάσχουσιν L **4** παρὰ – χρῶ om. X | καὶ – χρῶ om. P **7, 1** ζ΄] β΄ in Νεφρῶν P | ποτὸς δόκιμος L δόκιμον om. P X | ἡ σύνθεσις X **2** ἕξ P | τῶν καρπῶν καθαρῶν om. P | καρπὸν κεκαθαρμένων L ἀμυγδάλων πικρῶν X | καθαρῶν X ¦ κεκαθαρμένα L **3** σπέρμα om. X ¦ σπέρματος L | καθαροῦ X | κρόκου βραχυτάτου P | ὅσῳ χρῶνται X | χρωματίσαι L **4** ταῦτα[1] om. P | τρίψας – δεῦσον om. P | ταῦτα[2] – καλῶς om. X | πάντα om. L **5** τοῦ ἀρκοῦντος L | σκευάσας om. X ¦ add. καλῶς L | post δίδου add. πίνειν L | καθ' ἣν ἡμέραν post νῆστις P | ἣν om. X ¦ ἑκάστην L | δίδου νῆστις post χρῖσαι P | πρωὶ X ¦ τοῖς ἡλκωμένοις ἔχουσι τοὺς νεφρούς. L | πιεῖν om. P **8, 1** ποτὸν om. P | ἀπαράβατον ἔχει om. X | λαβὼν L **2** ὅσον om. X τρίψας – δεῦσον om. P | καλῶς δεῦσον om. X | μετ' εὐκράτου δόκιμον post πιεῖν P | τὸ[2] – 3 ἀρκοῦν om. L τὸ[2] – 3 καὶ om. X **3** καὶ om. P | καταπιεῖν P ¦ πίνειν X ¦ add. τοῖς πάσχουσι πίνειν L | πρωὶ – χρῶ om. P νῆστις χρῶ om. X | χρῶ om. L **9, 1** θ΄] ι΄X | post τροχίσκος add. ποιοῦν P ¦ add. ὠφέλιμος L | τοῖς[1]] τὰς P L τοῖς[1] – καὶ[1] om. X | τοῖς νεφροῖς τοὺς νεφροὺς P | κύστεως τῇ κύστει L | post καὶ[2] add. πρὸς τοὺς L | post πύον add. ἢ αἷμα ἢ μυξῶδη L **2** post οὐροῦντας add. ἢ αἷμα ἢ μιξώδους καὶ περιωδυνούντας P X ¦ ἐνουροῦντας L | post καὶ[1] add. πρὸς τοὺς περιωδυνωμένους ἢ L | ἡ σύνθεσις X ¦ ἔχοντας L **3** ἡμέρου σπέρματος ἡμέρου om. P **4** καθαρῶν X ¦ κοκοναρίων καθαρῶν L | σπέρματος μαράθρου L | σπόρου X | καὶ[1] om. P post λαπάθου add. σπέρμα P **5** βοτάνης om. X | β΄[2]] ιβ΄ P **6** post ἥμισυ add. ἢ β΄ καὶ ἥμισυ P | λειώσας L ταῦτα om. P | ταῦτα πάντα om. X ¦ transp. L | ποιήσας om. L | τὸ ἀρκοῦν om. P X ¦ τῷ ἀρκοῦντι L ἀνάπλαττε P ¦ ποίει X **7** post τροχίσκους add. ἱστῶν τὰ ἕνα ἕκαστον L | ἀνὰ L | δραχμιαίους P | ἐπὶ δὲ τῆς χρείας δίδου ἐη αὐτῷ τοῖς νοσοῦσιν α΄ L | ἀπυρέτους X | ἐξ αὐτοῦ om. P X ¦ μὲν L | post γλυκέος add. ὅσον P | κυάθων L **8** δέ δίδου om. X | δίδου om. P | χλιαροῦ X L | χλιαρῷ χρῶ om. P | χρῶ om. X

10 ι΄ Νεύρου τρωθέντος καὶ τῆς δι᾽ αὐτοῦ φλεγμονῆς ἴασις· πάνυ δόκιμος· ἔχει:

Στάκτην κονίαν καὶ ἀλεύρου κριθίνου, ἀνὰ οὐγγ β΄· ἑψήσας μεθ᾽ ὕδατος τὸ ἀρκοῦν, κατάπλαττε καὶ μετὰ τὴν κονίαν πάλιν θὲς ἄλευρον ὀρόβης ὀμβρίας, ἄνωθεν τούτου καὶ οὕτω χρῶ· χρῶ δὲ καὶ τὴν διὰ τοῦ εὐφορβίου ἔμπλαστρον.

11 ια΄ Νομὰς καὶ πάσας διαθέσεις, ὁ αὐτὸς περικόπτει, τὰς νενεκρωμένας σάρκας καὶ ἐπουλοῖ καὶ πρὸς σύριγγας, τὰς ἀπεγνωσμένας, χρῶ θαρρῶν ἐν Κ<υρί>ῳ· δόκιμον· ἔχει:

Ἰοῦ· ἀλόης ξανθῆς· λεπίδος χαλκοῦ, ἀνὰ οὐγγ ἥμισυ· ἴρεως· λιβάνου, ἀνὰ οὐγγ β΄· μέλιτος Ἀττικοῦ τὸ ἀρκοῦν· ἕψε τὸ μέλι καλῶς καὶ ὅταν συσταθῇ· ἔμβαλε τὸν ἰόν· εἶτα, τὴν λεπίδα· τὴν ἀλόην, τὴν ἶριν, κεκομμένα· ἐπὶ τέλος δέ, τὸ λίβανον καὶ οὕτως σκευάσας καλῶς, χρῶ.

12 ιβ΄ Νομάς καὶ πάσας διαθέσεις· τὸ νίτρον λεγόμενον· πρὸς πάντα τὰ ἐν τῷ σώματι· κνησμοῖς· ψώρας· λειχῆνας καὶ ἀλφοῖς· πάνυ δόκιμον· ἔχει:

Νίτρου ὀπτοῦ· λιβάνου, ἀνὰ λίτρ ἥμισυ· ἐλλεβόρου λευκοῦ· νᾶπυ· κάχρυος· ἀσταφίδας ἀγρίας· σαμψύχου· δαφνίδος· στρουθίου· ἀλόης ξανθῆς, ὀπτῆς· ἀδάρκης· σάπωνος Γαλλικοῦ· ἀφρονίτρου λευκοῦ· ἀλκυονίου· κισσήρεως, ἀνὰ λίτρ ἥμισυ· τρίψας ταῦτα πάντα καλῶς καὶ ἑνώσας, χρῶ τὰ τοιαῦτα, ἐν βαλανείῳ, ὡς δόκιμον.

13 ιγ΄ Νίτρον ἕτερον, εὔχρουν, τὸ σῶμα ποιοῦν· ἔχει:

Λιθόστρεα κεκαυμένα καὶ σεσεισμένα, οὐγγ ἥμισυ· οἴνου· ῥοδίνου ἐλαίου, ἀνὰ λίτρ ἥμισυ καὶ τέταρτον· ὑσσώπου ξηροῦ· ὀρόβου ἄλευρον, ἀνὰ οὐγγ ἥμισυ· μέλιτος Ἀττικοῦ τὸ ἀρκοῦν καὶ σκευάσας ταῦτα πάντα καλῶς, χρῶ ἐν βαλανείῳ, ὡς δόκιμον πάνυ.

---

**10, 1** ι΄] α΄; postea spatium 10 linearum vacuum relinquit et novum capitulum περὶ Νεύρων τρωθέντων incipit P ¦ θ΄ X | ante Νεύρου add. Ἔτι τοῦ ν΄ στοιχείου· Περὶ P | ἐκ τῆς τρώσεως φλεγμαίνοντος L ¦ | ἐν αὐτῷ X πάνυ om. L | πάνυ δόκιμος om. P | πάνυ – ἔχει om. X | ἔχει om. L **2** Στάκτης κονίας X L | μετὰ P | ἀνὰ – β΄ om. P | post ἑψήσας add. καταπλάς P | μεθ᾽ – 3 κατάπλαττε om. P | τοῦ ἀρκοῦντος L **3** post κατάπλαττε add. ταῦτα καὶ τοῦ ἀλγοῦντος φλεγμαίνοντος τόπου L ¦ | ὀροβίνου P X | ὀμβρίας om. X ἀπόθου P | καὶ οὕτω χρῶ om. X **4** χρῶ[1]] ποιήσας, θεραπεύσεις τὸν πάσχοντα L | post δὲ add. ἐπὶ τούτοις L ἐμπλάστρῳ X **11, 1** ια΄] β΄ περὶ Νεύρων P | post πάσας add. ὁμοίας L | ὁ αὐτὸς] ἀφανίζει ἡ παροῦσα σκευασία (add. super lin. νίτρον λεγομένη), ὁμοίως L | ὁ – περικόπτει] κόψαι καὶ X | post σάρκας add. σαρκοῖ X L **2** ἀπουλοῖ L | πρὸς om. L | post ἀπεγνωσμένας add. ἰᾶται L | post χρῶ add. ταύτην L | χρῶ – δόκιμον] ἡ σύνθεσις X | δόκιμον om. P ¦ δεδοκιμασμένην γὰρ ἐστὶν L ¦ | ἡ σύνθεσις X **3** ξανθῆς om. P X **4** Ἀττικοῦ om. X | Ἀττικοῦ – ἀρκοῦν] λίτρ ἥμισυ P | ἕψει X ¦ add. πρῶτον L | καλῶς om. P ¦ | εἰς σύστασιν· εἶτα X **5** post λεπίδα add. εἶθ᾽ οὕτως P | post κεκομμένα add. πάντα καλῶς L | ὕστερον X ¦ τελευταῖον L | καὶ – 6 χρῶ om. X | οὕτως om. P **6** καλῶς om. P L **12, 1** Νομάς – τὸ] Ἄλλον· P | post καὶ add. ψώρας καὶ λειχῆνας καὶ L | τὰς ὁμοίας τούτοις L | ἰᾶται ἡ παροῦσα σκευασία L | συγκρίνων P | πάντα om. X | post σώματι add. οἷον P **2** κνησμῶν X | ἀλφοὺς P X | πάνυ δόκιμον om. P X | ἡ σύνθεσις X **3** νάπυος X L **4** σταφίδος P L ἀγριοσταφίδος X | ξανθῆς om. P X | ἀδάρκης om. X **5** τρίψας – 6 καὶ om. P **6** ταῦτα πάντα transp. L χνοῶδες X | τὰ τοιαῦτα om. P X | τὰ – δόκιμον om. L | ὡς δόκιμον om. P X **13, 1** πρὸς κάθαρσιν καὶ P ¦ om. X | ἡ σύνθεσις X **2** Λιθόστρεων κεκαυμένων καὶ σεσεισμένων L | post οἴνου add. καλοῦ P | ῥοδελαίου X | λίτρ – 3 τέταρτον] ξέστου ἥμισυ P **3** ὀρόβου] ὀροβίνου X L | ὀρόβου ἄλευρον transp. L | ἄλευρον om. P | Ἀττικοῦ om. P X **4** καὶ – καλῶς om. P X | ὡς δόκιμον πάνυ om. P X | πάνυ om. L

ιδʹ Νίτρον, πρὸς τίλας καὶ οὐλάς· ἔχει: 14

Ὀρέγμου· μυροβαλάνου· κιμωλίας· νίτρου ἐρυθροῦ, ἀνὰ οὐγγ ἥμισυ· κασίας, οὐγγ ἥμισυ καὶ ἕν τέταρτον· πετροσελίνου Μακεδονικοῦ· λιβάνου· φοινίκων σάρκας, ἀνὰ οὐγγ ἥμισυ· ἀμυγδάλων πικρῶν καθαρῶν· σελίνου σπέρμα· τραγακάνθης· μολόχου σπέρμ<α>· δαύκου Κρητικοῦ· τορδύλου σπέρμα· ναρδοστάχυος· ῥέου ποντικοῦ· πεπέρεως κοινοῦ, ἀνὰ οὐγγ ἥμισυ· τρίψας ταῦτα καλῶς, δεῦσον μετὰ οἴνου καλοῦ τὸ ἀρκοῦν καὶ δίδου εἰς κονδῖτον ἢ οἰνόμελι· ἔστω δὲ τὸ μέγεθος τῆς δόσεως, ὅσον θέρμου καὶ οὕτως σκευάσας καλῶς χρῶ.

---

**14, 1** Νίτρου add. ἑτέρα σκευασία ὠφέλιμος L | τήλους P | ἡ σύνθεσις X **2** οὐγγ[2] – 3 τέταρτον] ἐξαγ δʹ καὶ ἥμισυ P **3** σάρκας om. X **4** καθαρῶν om. P X | σπέρματος σελίνου L | σπόρου X | μολόχου – 5 σπέρμα[1]] σπέρματος μολόχης L **5** σπέρμα[1]] σπόρου X | σπέρματος τορδύλου L | σπέρμα[2]] σπόρου X | ναρδοστάχυος X L **6** κοινοῦ om. P X | τρίψας – 7 ἀρκοῦν] ἀναλάμβανε οἴνῳ P | χνοῶδες X | μετὰ om. X | καλοῦ om. X **7** ἡ δόσις X | μετὰ L | κονδίτου L | post ἢ add. εἰς P | οἰνομέλιτος ἡ δὲ ἐξ αὐτοῦ L | ἔστω – ὅσον om. X δὲ om. L ¦ | τὸ μέγεθος post θέρμου L ¦ | post μέγεθος add. ἅπαν P | post τῆς add. τελείας P **8** τὸ μέγεθος· χρῶ τοῦτο ὡς δόκιμον πεπείραται γὰρ. P ¦ τὸ μέγεθος X | καλῶς om. L

## Ἀρχὴ σὺν Θεῷ Ἁγίῳ, τοῦ ξ΄ στοιχείου

### περὶ Ξηρίων

α΄ Ξηρίον τοῦ ἀνθηροῦ, πρὸς πᾶσαν αἱμαρραγίαν
β΄ Ξηρίον τὸ ἄδηκτον· πρὸς σηπεδόνας καὶ οὖλα
γ΄ Ξηρίον τὸ ἴσχαιμον, ὀνομαζόμενον, πάνυ καλόν
δ΄ Ξηρίον ὁ Ἡρακλῆς, ἀντὶ καυστῆρος· πάνυ δόκιμον
ε΄ Ξηρίον πταρμικόν· διαφορητικόν· θαυμαστόν
ϛ΄ Ξηρίον στομαχικόν· ποτόν, εἰς ψυχρότητα στομάχου
ζ΄ Ξηρίον σαρκωτικόν, τὸ διὰ ἀλόης ξανθῆς
η΄ Ξηρίον πρὸς κιονίδας κεχαλασμένας· δόκιμον
θ΄ Ξηρίον, πρὸς σταφυλήν, καταστάζουσα
ι΄ Ξηρίον, πρὸς κιονίδας, κεχαλασμένας
ια΄ Ξηρίον ἀνθηρόν, πρὸς σταφυλὴν ῥευματιζόμενον
ιβ΄ Ξηρίον, πρὸς βατράχων παιδίων θαυμαστόν
ιγ΄ Ξηρίον, πρὸς βατράχων ὑπὸ τὴν γλῶσσαν γινόμενον
ιδ΄ Ξηρίον, τὸ ἀνθηρόν· ποιοῦν πρὸς νομάς· δόκιμον
ιε΄ Ξηρίον στοματικόν, πρὸς ῥευματιζόμενα οὖλα
ιϛ΄ Ξηρίον, ποιοῦν, εἰς σηπεδόνας τὰς ἐν τῷ στόματι
ιζ΄ Ξηρίον, στοματικόν, ἄδηκτον· τὸ καλούμενον θαῦμα
ιη΄ Ξηρίον, κολλύριον, τῶν Ἁγίων Ἀναργύρων, δόκιμον
ιθ΄ Ξηρίον, τὸ διάκροκον, ὀνομαζόμενον· θαυμαστόν
κ΄ Ξηρίον ἤτοι κολλύριον· ποιοῦν, εἰς ῥεῦμα ὀφθαλμῶν
κα΄ Ξηροκολλούριον πρὸς τραχώματα καὶ πτερύγια
κβ΄ Ξηροκολλούριον ποιοῦν πρὸς ὑποχύσεις
κγ΄ Ξηροκολλούριον Σεβηριανοῦ, εἰς λευκώματα
κδ΄ Ξηροκολλούριον Φιλοξένου· πρὸς κνησμονὴν κανθῶν
κε΄ Ξηρίον καθαίρων κεφαλήν· πάνυ καλόν
κϛ΄ Ξηρίον ἡ Αἰγυπτία, πρὸς νομάς· τὰς ἐν οὔλοις

---

**P, 1** σὺν – Ἁγίῳ om. P **2** πίναξ τῶν σκευασιῶν τῶν L **3** πρὸς – αἱμαρραγίαν om. P **4** πρὸς – οὖλα om. P **5** γ΄ deest P | ὀνομαζόμενον om. X | δόκιμον X **6** δ΄] γ΄ P | ἀντὶ – δόκιμον om. P **7** ε΄] δ΄ P | θαυμαστόν om. P X **8** ϛ΄] ε΄ P | εἰς] ποιοῦν πρὸς P | post στομάχου add. καὶ ἀνόρεκτον P ¦ om. X **9** ζ΄] ϛ΄ P | τὸ – ξανθῆς om. P | ξανθῆς om. X **10** η΄] ζ΄ P | κιονίδα κεχαλασμένη X | καὶ φλεγμαίνουσας P ¦ om. X **11** θ΄] η΄ P | κεφαλήν X | post καταστάζουσα add. καὶ κεχαλασμένην P **12** ι΄] θ΄ P | post Ξηρίον add. ἄλλον P **13** ια΄] ι΄ P **14** ιβ΄] ια΄ P | βατράχων – θαυμαστόν] βάτραχαν παιδίου P | θαυμαστόν om. X **15** ιγ΄] ιβ΄ P βατράχων – γινόμενον] βάτραχα ὅμοια διὰ πείρας P **16** ιδ΄] ιγ΄ P | ποιοῦν om. X | δόκιμον] τὰς ἐν τῷ στόματι P ¦ om. X **17** ιε΄] ιδ΄ P | post στοματικόν add. ἀναγκαῖον P **18** ιϛ΄] ιε΄ P | ποιοῦν om. X | πρὸς X **19** ιζ΄] ιϛ΄ P | στοματικόν om. X **20** ιη΄] ιζ΄ P | Ξηροκολλύριον P | κολλούριον X | Κοσμὰ καὶ Δαμιανοῦ P ¦ om. X **21** ιθ΄] ιη΄ P | Ξηροκολλύριον P | διὰ κρόκου X | ὀνομαζόμενον θαυμαστόν om. P | θαυμαστόν om. X **22** κ΄] ιθ΄ P | Ξηρίον – κολλύριον] Ξηροκολλύριον add. διὰ πείρας P | κολλούριον X | ποιοῦν om. X ὀφθαλμῶν om. P **23** κα΄] κ΄ P | post Ξηροκολλούριον add. ποιοῦν P ¦ Ξηρίον κολλούριον X | καὶ πτερύγια om. X **24** κβ΄] κα΄ P **25** κγ΄] κβ΄ P | εἰς λευκώματα om. P **26** κδ΄] κγ΄ P | Φιλοξένου om. X | πρὸς – κανθῶν om. P **27** κε΄] κδ΄ P | πάνυ καλόν om. P ¦ δόκιμον X **28** κϛ΄] κε΄ P | πρὸς – οὔλοις om. P

κζʹ Ξηρίον Ἀγαθαγγέλου· εἰς νομὰς καὶ σηπεδόνας
κηʹ Ξηρίον τὸ μίλιον λεγόμενον· ἵστησι δὲ νομάς
κθʹ Ξηρίον πρὸς συκαμινέαν ἤτοι μόρον
λʹ Ξηρίον Σωρανοῦ, ἐσχαρωτικόν, δόκιμον πάνυ
λαʹ Ξηρίον εἰς ἄρχων προσπίνοντα, διὰ πείρας
λβʹ Ξηρίον πρὸς νομάς, ἐκ τοῦ Γαληνοῦ, δόκιμον
λγʹ Ξηρίον κατάπλασμα ἄδηκτον· πεπειραμένον
λδʹ Ξηρίον ἀπολοῦν καὶ τὰ κακοήθη· πάνυ δόκιμον
λεʹ Ξηρίον ἴσχαιμον· ὅπερ Διοσκουρίδης ὁ Ταρσεύς, ἔδωκε
λςʹ Ξηρίον πρὸς σεσειομένους ὀδόντας θαυμαστόν
λζʹ Ξηρίον ἀπουλωτικόν, εἰς πάντα τραύματα
ληʹ Ξηρίον πρὸ τεταρταῖον, εἰς εὔκρατον λαμβανόμενον
λθʹ Ξηρίον πρὸς λειχῆνας καὶ ἀλφοὺς λευκοὺς καὶ μέλανας
μʹ Ξηρίον τὸ μηνάβιον λεγόμενον· πάνυ θαυμαστόν
μαʹ Ξηρίον σαρκωτικὸν καὶ ἀπουλωτικόν, δόκιμον
μβʹ Ξηρίον πρὸς ὀζαίνας, πάνυ θαυμαστόν
μγʹ Ξηρίον μήλινον συριγγιακόν· ποιοῦν πρὸς νομάς
μδʹ Ξηρίον συριγγιακὸν δόκιμον, ὡς τὸ πρὸ τούτου
μεʹ Ξηρίον σαρκωτικόν, τὸ διὰ λιβάνου, δόκιμον
μςʹ Ξηρίον πρὸς ἐρυσιπέλατα, πάνυ ἐπαινετόν
μζʹ Ξηρίον πρὸς ἐρυσιπέλατα, τὸ διὰ ῥοδίνου ἐλαίου
μηʹ Ξηρόμυρα πρὸς εὐωδίαν ἱματίων, πάνυ καλόν
μθʹ Ξηρόμυρα ὅμοια, πρὸς εὐωδίαν ἱματίων
νʹ Ξίφος μὴ ποιοῦν, ἰὸν πώποτε, θαυμαστόν
ναʹ Ξηρόμυρον εἰς εὐωδίαν ἱματίων, τὸ διὰ ῥόδων
νβʹ Ξηρίον τὸ ἀφροδιτάριον, πρὸς αἰδοῖα, ῥευματιζόμενα
νγʹ Ξηρίον πρὸς αἰδοῖα ἡλκωμένα·πάνυ δόκιμον
νδʹ Ξηρίον ἄκοπον πάσμα· ὅ χρώμεθα ἐν βαλανείῳ
νεʹ Ξηρίον κατάπλασμα κεφαλῆς, τὸ διὰ ὀρόβων
νςʹ Ξηρίον κατάπλασμα κεφαλῆς, τὸ διὰ πίτυος φλοιοῦ

**29** κζʹ] κςʹ P | πρός P | καὶ σηπεδόνας om. X | post σηπεδόνας add. πάσας P **30** κηʹ] κζʹ P | μήλ<ιον> P ¦ μήλινον X | λεγόμενον om. P | post νομάς add. κηʹ (κθʹ X) Ξηρίον αἰδοικὸν οὗ μεῖζον μὴ ζήτει P X **31** κθʹ] λʹ X | ἤτοι] τοῦτ᾽ ἔστιν P **32** λʹ] λαʹ X | δόκιμον πάνυ om. P X **33** λαʹ] λβʹ X | πρὸς P | ἀρχὸν προπίπτοντα X | διὰ πείρας om. X **34** λβʹ] λγʹ X | δόκιμον om. P X **35** λγʹ] λδʹ X | πεπειραμένον om. P X **36** λδʹ] λεʹ X | πάνυ δόκιμον om. P X **37** λεʹ] λςʹ X | ὅπερ om. X | ὅπερ – ἔδωκε] πρὸς αἱμορραγίαν P | ὁ – ἔδωκε om. X **38** λςʹ] λζʹ X | σεσεισμένους P | θαυμαστόν om. P X **39** λζʹ] ληʹ X **40** ληʹ deest P ¦ λθʹ X **41** λθʹ] ληʹ P ¦ μʹ X | καὶ μέλανας om. X | μέλαινας P **42** μʹ] λθʹ P ¦ μαʹ X | λεγόμενον – θαυμαστόν om. P ¦ πρὸς νομάς X **43** μαʹ] μʹ P ¦ μβʹ X | δόκιμον om. P X **44** μβʹ] μαʹ P ¦ μγʹ X | ἐπαινετὸν X **45** συριγγιακόν – νομάς om. P | ποιοῦν – νομάς om. X **46** μδʹ] μγʹ P | συρίγγιον X | δόκιμον – τούτου om. P ¦ χρήσιμον X **47** μεʹ] μδʹ P ¦ μςʹ X | τὸ – δόκιμον] διὰ πείρας P | δόκιμον om. X **48** μςʹ] μεʹ P ¦ μηʹ X | καλὸν πάνυ P ¦ ἕτερον X **49** μζʹ deest P **50** μηʹ] μςʹ P | πάνυ καλόν om. P X **51** μθʹ deest P **52** νʹ] μζʹ P | πώποτε θαυμαστόν] ὅμοιον, ξυρόμυρον P | θαυμαστόν om. X **53** ναʹ deest P **54** νβʹ] μηʹ P | πρὸς – ῥευματιζόμενα om. P | ῥευματιζόμενα om. X **55** νγʹ] μθʹ P | ἡλκωμέναπάνυ δόκιμον om. P X **56** νδʹ] νʹ P | ἄκοπον om. X | ὅ] ᾧ X | χρώμενον P **57** νεʹ] ναʹ P | κατάπλασμα κεφαλῆς transp. P | τὸ – ὀρόβων om. P X **58** νςʹ deest P X

νζ΄ Ξηρίον τὸ διὰ ἀλόης ξανθῆς, πάνυ καλόν
νη΄ Ξηρίον τὸ διὰ σφέκλης Μανέθωνος ὀνομαζόμενον
νθ΄ Ξηρίον Ὀρειβασίου, τὸ μελιτήριον, ὀνομαζόμενον
ξ΄ Ξηρίον τι δι᾽ ὀστρέων, ἐπονομαζόμενον
ξα΄ Ξηρίον τὸ διὰ λιβάνου ὀνομαζόμενον
ξβ΄ Ξηρίον τὸ ἀφροδιτάριον, ἐπονομαζόμενον
ξγ΄ Ξηρίον ἡ ῥοϊδία ὀνομαζομένη, ἴσχαιμος
ξδ΄ Ξηρίον τὸ ξανθὸν ὀνομαζόμενον, θαυμαστόν
ξε΄ Ξηρίον τὸ ψαρὸν ὀνομαζόμενον, πάνυ καλόν
ξς΄ Ξηρίον τὸ ἡλιοκαὲς, δόκιμον πάνυ
ξζ΄ Ξηρίον τὸ ἀνθηρόν, ὀνομαζόμενον
ξη΄ Ξηρίον, τὸ διὰ χάρτης ὀνομαζόμενον, δόκιμον
ξθ΄ Ξηρίον, τὸ δι᾽ ὀξυμυρσίνης, πρὸς τὰ αὐτά
ο΄ Ξηρίον, τὸ τοῦ Μασσαλιώτου, λεγόμενον
οα΄ Ξηρίον, σμῆγμα, ὁ λεγόμενος Ἀσκληπιός
οβ΄ Ξηρίον, σμῆγμα, τὸ καλούμενον πεπονάτον
ογ΄ Ξηρίον, τὸ κρείττονος λεγόμενον, πάνυ δόκιμον
οδ΄ Ξηρίον, τὸ διὰ τραγακάνθης, πάνυ ἐπαινετόν
οε΄ Ξηραντικὸν πάσμα, κεφαλῆς ῥευματιζομένης
ος΄ Ξηρίον ἤτοι ψίλωθρον ποδαγρικόν· δόκιμον
οζ΄ Ξηρίον πρὸς πόλυπας, τὸ διὰ χαλκίτεως
οη΄ Ξηρίον ἄκοπον πάσμα· χρώμενον ἐν βαλανείῳ
οθ΄ Ξηρίον πρὸς πολύπον, τὸ διὰ χαλκάνθου
π΄ Ξηρίον ἡ ῥοδία ὀνομαζομένη ἴσχαιμος
πα΄ Ξηρίον, πρὸς καρκινώματα, ἐν στόματι, δόκιμα
πβ΄ Ξηρίον κεφαλικὸν ἀνακαθαῖρον τὰ κοῖλα τῶν σαρκῶν
πγ΄ Ξηρίον κατασταλτικόν, πάσης ὑπεροχῆς
πδ΄ Ξηρίον, τὸ καλούμενον, Ξενοκράτειον· πάνυ θαυμαστόν
πε΄ Ξηρίον πρὸς αἰδοῖα, ῥευματιζόμενα, δόκιμον
πς΄ Ξηρίον, κεφαλικόν· τραυματικὸν καὶ συνουλωτικόν

---

**59** νζ΄] νβ΄ P | ξανθῆς om. X | ξανθῆς – καλόν om. P **60** σφέτλης P | ὀνομαζόμενον om. P X **61** νθ΄] νδ΄ P | Ὀρειβασίου – μελιτήριον transp. P | ὀνομαζόμενον om. P X **62** ξ΄] νε΄ P | ἐπονομαζόμενον om. P **63** ξα΄] νς΄ P | ὀνομαζόμενον om. P ¦ πάνυ ἐπαινετὸν X **64** ξβ΄] νζ΄ P | ἐπονομαζόμενον om. P ¦ καλούμενον X **65** ξγ΄] νη΄ P **66** ξδ΄] νθ΄ P | ὀνομαζόμενον θαυμαστόν om. P | θαυμαστόν om. X **67** ξε΄] ξ΄ P ὀνομαζόμενον – καλόν om. P | πάνυ καλόν om. X **68** ξς΄] ξα΄ P | post Ξηρίον add. καυστικόν P | δόκιμον πάνυ om. P ¦ πάνυ ἐπαινετὸν X **69** ξζ΄] ξβ΄ P | ὀνομαζόμενον om. P **70** ξη΄] ξγ΄ P | πρὸς νομὰς στόματος P X **71** ξθ΄] ξδ΄ P | πρὸς – αὐτά om. P **72** ο΄] ξε΄ P | Μασσὲ Γαλεώτου X | λεγόμενον om. P **73** οα΄] ξς΄ P ζσμῆγμα P | λεγόμενος om. P **74** οβ΄] ξζ΄ P | ζσμῆγμα P **75** ογ΄] ξη΄ P | λεγόμενον – δόκιμον] πρὸς τὰ αὐτά P | πάνυ δόκιμον om. X **76** οδ΄] ξθ΄ P | τὸ – ἐπαινετόν] πρὸς τὰ αὐτὰ ὅμοιον P | πάνυ ἐπαινετόν om. X **77** οε΄] ο΄ P | Ξηρίον P | ζσμῆγμα P **78** ος΄] οα΄ P | δόκιμον om. P X **79** οζ΄] οβ΄ P | πολύποδας X | τὸ – χαλκίτεως om. P **80** οη΄] ογ΄ P **81** οθ΄] οδ΄ P | πόλυπας P | τὸ – χαλκάνθου om. P **82** π΄] οε΄ P ὀνομαζομένη om. P **83** πα΄] ος΄ P | δόκιμα om. X **84** πβ΄] οζ΄ P | ἀνακαθαῖρον – σαρκῶν om. P | τὰ – σαρκῶν om. X **85** πγ΄] οη΄ P **86** πδ΄] οθ΄ P | Ξηρίον] add. ἕτερον P | καλούμενον om. X | πάνυ θαυμαστόν om. P ¦ ἀναπληρωτικὸν X **87** πε΄] π΄ P | δόκιμον om. P X **88** πς΄] πα΄ P | καὶ συνουλωτικόν om. X

πζʹ Ξηρίον κεφαλικόν· πληροῦν τὰ βαθέα ἕλκη καὶ σαρκοῦν
πηʹ Ξηρίον ἡλιοκαές, λεγόμενον καὶ ἐπὶ δυσεντερικούς
πθʹ Ξηρίον πρὸς αἰγίλωπας, πεπειραμένον
ϙʹ Ξηρίον Σεβηριανοῦ, πρὸς τὰ ἐν ὀφθαλμοῖς πάθη
ϙαʹ Ξηρίον ὀφθαλμικόν, ποίημα, Ἀλυπίου ἀρχιητροῦ
ϙβʹ Ξηρίον αἰδοικόν, πάνυ ἐπαινετὸν καὶ δόκιμον
ϙγʹ Ξηρίον σαρκωτικόν· πρὸς σύριγγας
ϙδʹ Ξηρίον τὸ ἀνθηρόν, πρὸς οὖλα ῥευματιζόμενα
ϙεʹ Ξηρόμυρον, κεφαλῆς ῥευματιζομένης· δόκιμον
ϙςʹ Ξηρόμυρον, πρὸς κεφαλ<ὴν> ῥευματιζομ<ένην>
ϙζʹ Ξηρίον τὸ διὰ ἴρεως, ἐπονομαζόμενον
ϙηʹ Ξηρίον πρὸς τὰς ἐν ταῖς ῥινὸς ὀζαίνας, δόκιμον
ϙθʹ Ξηρίον σαρκωτικόν, τὸ διὰ λιβάνου· θαυμαστόν
ρʹ Ξηρίον πρὸς ῥινὸς ὀζαίνας, πάνυ ἐπαινετόν
ραʹ Ξηρίον πρὸς ῥινὸς ὀζαίνας, τὸ διὰ νίτρου
ρβʹ Ξηρίον ὀζαίνας μυκτήρων· τὸ διὰ σμύρνης
ργʹ Ξηρίον Θεοδώρ<ου> μαΐστορος, εἰς δυσωδίαν μυκτήρων
ρδʹ Ξηρίον πρὸς ὀζαίνας ῥινός, τὸ διὰ ῥόδων ξηρῶν
ρεʹ Ξηρίον τὸ καλούμενον τερπνόν, πρὸς μυκτήρων
ρςʹ Ξηρίον πρὸς πολύποδας καὶ πρὸς ὀζαίνας
ρζʹ Ξηρίον πρὸς πολύποδας, Ἀπολλωνίου
ρηʹ Ξηρίον Ἀπολλωνίου τὸ διὰ ἑλλεβόρου μέλανος
ρθʹ Ξηρίον τὸ ἡλιοκαὲς· εἰς βιβρωσκόμενα οὖλα
ριʹ Ξηρίον στοματικόν, εἰς ρευματιζόμενα οὖλα
ριαʹ Ξηρίον πρὸς σηπεδόνας, ἐν τῷ στόματι
ριβʹ Ξηρίον εἰς οὐλοφάγια, τὸ διὰ χρυσοβαλάνου
ριγʹ Ξηρίον πρὸς οὐλοφάγια, τὸ διὰ μοσχοκάρυδων
ριδʹ Ξηρίον δόκιμον, πρὸς οὐλοφάγια, δόκιμον
ριεʹ Ξηρίον πρὸς οὐλοφάγια, τὸ διὰ γαροφάλων

**89** πζʹ deest P | καὶ σαρκοῦν om. X **90** πηʹ] πβʹ P | λεγόμενον καὶ om. X | λεγόμενον – δυσεντερικούς om. P **91** πθʹ] πγʹ P **92** ϙʹ] πδʹ P | πρὸς – πάθη om. P | πάθη om. X **93** ϙαʹ] πεʹ P | ποίημα om. X | ποίημα – ἀρχιητροῦ om. P | ἀρχιητροῦ om. X **94** ϙβʹ] πςʹ P | πάνυ – δόκιμον om. P | καὶ δόκιμον om. X **95** ϙγʹ deest P **96** ϙδʹ] πζʹ P | πρὸς – ῥευματιζόμενα om. P **97** ϙεʹ] πηʹ P | δόκιμον om. P X **98** ϙςʹ] πθʹ P Ξηρόμυρον – ῥευματιζομένην] Ξηρίον ἄλλον δόκιμον ὡς τὸ προειρημένον P | πρὸς – ῥευματιζομένην] ἕτερον πρὸς τὸ αὐτό X **99** ϙζʹ] ϙʹ P | Ξηρόμυρον X | τὸ – ἐπονομαζόμενον] ἄλλον πρὸς τὰ εἰρημένα δόκιμον P **100** ϙηʹ] ϙαʹ P | ταῖς ῥινὸς] ταῖς ῥισὶν X | δόκιμον om. P X **101** ϙθʹ] ϙβʹ P | τὸ – θαυμαστόν om. P θαυμαστόν om. X **102** ρʹ] ϙγʹ P | ῥινὸς om. P | ῥινὸς ὀζαίνας transp. X | πάνυ ἐπαινετόν om. P ¦ δόκιμον X **103** ραʹ] ϙδʹ P | ῥινὸς om. P | ῥινὸς ὀζαίνας transp. X | τὸ – νίτρου om. P **104** ρβʹ] ϙεʹ P | μυκτήρων – σμύρνης] ὁμοίως P **105** ργʹ] ϙςʹ P | μαΐστορος om. X | εἰς – μυκτήρων om. P **106** ρδʹ deest P | ξηρῶν om. X **107** ρεʹ] ϙζʹ P | πρὸς μυκτήρων om. P | μυκτῆρας X **108** ρςʹ] ϙηʹ P **109** ρζʹ deest P | πρὸς – Ἀπολλωνίου transp. X **110** ρηʹ deest P **111** ρθʹ] ϙθʹ P | εἰς – οὖλα om. P **112** ριʹ] ρʹ P | post στοματικόν add. ἀναγκαῖον P **113** ριαʹ] ραʹ P **114** ριβʹ] ρβʹ P | τὸ – χρυσοβαλάνου om. P **115** ριγʹ] ργʹ P | πρὸς – μοσχοκάρυδων] ἄλλον εἰς τὸ αὐτὸ P **116** ριδʹ] ρδʹ P | δόκιμον[1]] om. X | post οὐλοφάγια add. ἕτερον X οὐλοφάγια δόκιμον] τὰς τῶν οὐλῶν νομάς P **117** ριεʹ deest P

ρις΄ Ξηρίον πρὸς τὰς τῶν οὐλῶν νομάς
ριζ΄ Ξηρίον πρὸς οὐλοφάγια, τὸ διὰ νίτρου
ριη΄ Ξηρίον ἡ ἀνθηρὰ λεγομένη τὸ διὰ μοσχοκάρυδων πρὸς οὖλα ἀφεστῶτα
ριθ΄ Ξηρίον, πρὸς οὐλοφάγια, τὰ διὰ κυπέρεως
ρκ΄ Ξηρίον, πρὸς τὰ σαρκῶσαι οὐλοφάγια, διὰ ῥόδων
ρκα΄ Ξηρίον, πρὸς οὐλοφάγια, τὸ διὰ σιδίων
ρκβ΄ Ξηρίον, τὸ ἀνθηρόν, πρὸς σηπεδόνας ἐν τῷ στόματι
ρκγ΄ Ξηρίον, πρὸς σηπεδόνας καὶ εἰς οὖλα νεμόμενα
ρκδ΄ Ξηρίον, τὸ ἀνθηρόν, πρὸς σηπεδόνας ἐν τῷ στόματι
ρκε΄ Ξηρίον, ἡ ἀνθηρά, τὸ διὰ κυπέρεως
ρκς΄ Ξηρίον, πρὸς σηπεδόνας, τὰς ἐν στόματι
ρκζ΄ Ξηρίον πρὸς σηπεδόνας, τὸ διὰ κυμίνου
ρκη΄ Ξηρίον πάνυ θερμόν, πρὸς ψυχρὰς διαθέσεις
ρκθ΄ Ξηρίον πρὸς ῥινὸς ὀζαίνας καὶ ἀναβρώσεις
ρλ΄ Ξηρίον πρὸς ὀζαίνας ῥινός, τὸ διὰ ἀμώμου
ρλα΄ Ξηρίον, τὸ διὰ σανδαράχης, ὡς τὸ πρὸ τούτου
ρλβ΄ Ξηρίον, τὸ διὰ χαλκάνθης, πάνυ δόκιμον
ρλγ΄ Ξηρίον, τὸ μίσυος, τὸ διὰ μυκτήρων
ρλδ΄ Ξηρίον, πρὸς ὀζαίνας μυκτήρων, θαυμαστὸν
ρλε΄ Ξηρίον, τὸ δι᾽ ἐρείκης καρποῦ, πρὸς ὀζαίνας μυκτήρ<ων>
ρλς΄ Ξηρίον, πρὸς ὀζαίνας ῥηνός, τὸ διὰ ἁλὸς κοινοῦ
ρλζ΄ Ξηρίον, Θεοδώρου τοῦ Ὀκταρίου, εἰς ὀζαίνας ῥινός
ρλη΄ Ξηρίον, τὸ διὰ σμύρνης, πρὸς ὀζαίνας ῥινός
ρλθ΄ Ξηρίον, τὸ ἡδύχροον, πρὸς ὀζαίνας μυκτήρων
ρμ΄ Ξηρίον, τὸ καλούμενον τέρπον, πρὸς μυκτῆρας
ρμα΄ Ξηρίον, τὸ διὰ κασίας, πάνυ θαυμαστόν
ρμβ΄ Ξηρίον, τὸ διὰ ἴρεως, ὡς τὸ πρὸ τούτου

---

**118** ρις΄] ρς΄ P | πρὸς – νομάς] ἄλλον τὸ ἀνθηρὸν P **119** ριζ΄] ρζ΄ P | οὐλοφάγια – νίτρου] σηπεδόνας, ἐν τῷ στόματι P **120** ριη΄] ρε΄ P | λεγομένη – μοσχοκάρυδων om. P X **121** ριθ΄] ρς΄ P | πρὸς – κυπέρεως] ἄλλον τὸ ἀνθηρὸν P **122** ρκ΄] ρζ΄ P | τὰ – ῥόδων] σηπεδόνας ἐν τῷ στόματι P | διὰ ῥόδων om. X **123** ρκα΄ deest P | οὐλοφάγια – σιδίων] σηπεδόνας ἐν τῷ στόματι P **124** ρκβ΄] ρη΄ P | πρὸς – στόματι] ἕτερον P **125** ρκγ΄] ρθ΄ P | καὶ – νεμόμενα] ἐν τῷ στόματι P | νεμόμενα om. X **126** ρκδ΄] ρι΄ P | τὸ ἀνθηρόν om. P | post σηπεδόνας add. ἄλλον P | σηπεδόνας – στόματι] οὖλα βεβρωμένα X **127** ρκε΄ deest P **128** ρκς΄] ρια΄ P πρὸς – στόματι] πάνυ καλὸν πρὸς τὰς ψυχρὰς διαθέσεις P **129** ρκζ΄ deest P **130** ρκη΄ deest P ¦ ρκθ΄ X **132** ρλ΄ deest P ¦ ρλ΄ X **133** ρλα΄ deest P ¦ ρλ΄ idem X **134** ρλβ΄ deest P **135** ρλγ΄ deest P | μυκτῆρας X **136** ρλδ΄ deest P | θαυμαστὸν om. X **137** ρλε΄ deest P | μυκτήρων om. X **138** ρλς΄ deest P **139** ρλζ΄ deest P | εἰς – ῥινός om. X **140** ρλη΄ deest P **141** ρλθ΄ deest P **142** ρμ΄ deest P X **143** ρμα΄ deest P ¦ ρλθ΄ X **144** ρμβ΄ deest P ¦ ρμ΄ X

Ἀρχὴ σὺν Θεῷ Ἁγίῳ, τοῦ ξ΄ στοιχείου·

περὶ Ξηρίων σκευασιῶν

Τὴν τοῦ ν΄ στοιχείου· τὴν ἐξήγησιν τῆς θεραπείας αὐτοῦ· τρανῶς διαδραμόντες· δεῦρο καὶ ἐπὶ τὴν τοῦ μετ᾽ αὐτοῦ στοιχείου τοῦ ξ΄· τὰς αὐτοῦ δημηγορίας, τῶν ἐξηγήσεων τ᾽ αὐτοῦ, δημηγορήσομεν ἀόκνως· ἐν αἷς περὶ ξηρίων πασῶν σκευασιῶν, βούλεται ἡμᾶς διδάξαι, ὁ μυσταγωγὸς ἡμῶν· ἔστιν δὲ πρῶτον εὕρεσις τῆς θεραπείας· ξηρίου

α΄ Ξηρίου τοῦ ἀνθηροῦ· ποιοῦν θαυμαστῶς· πρός τε αἱμορραγίας καὶ ὑπερσαρκώματα 1
καὶ νομὰς τὰς ἐπὶ τοῦ σώματος καὶ τὰ ἐν στόματι πάντα· ἔχει:

Χαλκίτεως κεκαυμένης, ὁλκὰς ι΄· μίσυος, ὁλκὰς β΄· χαλκάνθης, ὁλκὴν α΄ καὶ τέταρτον· τρίψας ταῦτα καὶ λεάνας καλῶς, δίδου ἐπὶ τῆς χρείας.

β΄ Ξηρίον, τὸ ἄδηκτον· καταστέλλων ἰσχυρός· πρὸς τε σηπεδόνας τὰς ἐν τῷ στόματι 2
θεραπεύει καὶ οὖλα καὶ ὀδόντας καὶ παντοῖα πάθη· ἔχει:

Τιτάνεως ζώσης, λίτρ α΄· στυπτηρίας σχιστῆς, οὐγγ β΄· σμύρνης, οὐγγ ἥμισυ· ταῦτα τρίψας ὡς χνοῶδες, ἐπὶ τῆς χρείας, τρῖβε ἐν ἡλίῳ τοῖς ὑπὸ κύνα καύμασιν· χρῶ.

γ΄ Ξηρίον, ἴσχαιμον, πάνυ καλόν· ἔχει: 3

Κηκίδων, ὁλκὰς γ΄· λεπίδος χαλκοῦ, ὁλκὴν α΄· μίσυος, ὁλκὰς β΄ καὶ ἥμισυ· στυπτηρίας σχιστῆς, ὁλκὰς β΄ καὶ ἥμισυ· τρίψας ταῦτα ὡς χνοῶδες, δίδου ἐπὶ τῆς χρείας.

---

**0, 1** Ἀρχὴ – στοιχείου om. L **2** Ξηρίων σκευασιῶν transp. L **3** στοιχείου τὴν om. X | πραγματείαν τῶν σκευασιῶν καὶ τὰς ἀπὸ τούτων L | αὐτοῦ om. X | ἐξηγησάμενοι L **4** μετ᾽ – τοῦ[2] om. X | post τοῦ[2] add. ἐστὶν τοῦ P | post ξ΄ add. τάξιν χωρήσωμεν καὶ X | τὰς – 7 ξηρίου] ἔλθωμεν καὶ ταῦτα προθῶμεν τοῖς φιλομαθέσι σαφῶς καὶ εὐλήπτως, εἰς τὴν τῶν μετὰ γενετέρων ὠφέλειαν. ὧν πρώτην ἐποιησάμεθα τὴν τοῦ ἀνθηροῦ ξηρίου σκευασία. ὠφέλιμον οὖσαν πρὸς τε αἱμορραγίαν καὶ ὑπερσαρκώματα καὶ νομὰς τὰς τοῖς ἐν ὅλοις μέρεσι τοῦ σώματος καὶ ἐν τῷ στόματι συμβαίνουσι, γίνεσθαι. L **5** ταῦτα τρανῶς P ¦ om. X **6** ἡμῶν om. X | πρῶτον – θεραπείας] πρώτη αὕτη X | post τῆς add. ἐξηγήσεως τῆς P | θεραπείας ξηρίου transp. add. τοῦ κατονομαζόμενου P **1, 1** α΄ in margine Ξηρίον τοῦ ἀνθηροῦ pulveri sic! P | post ποιοῦν add. καὶ γὰρ τοῦτο ὠνίνησι P | ποιοῦν θαυμαστῶς om. X | ποιοῦν – 2 πάντα] ὠφελοῦν εἰς τὰ ἀνωτέρω γεγραμμένα πάθη· οὕτινος ἡ σκευασία L | θαυμασίως P | πᾶσαν X | αἱμορραγίαν X **2** ἐν τῷ σώματι X | ἡ σύνθεσις X ¦ δέχεται L **3** post β΄ add. καὶ ἥμισυ P **4** τρίψας om. P ¦ τρῖψον X | post ταῦτα add. ὁμοῦ P | ταῦτα – χρείας] χνοώδη X | καλῶς – χρείας] καὶ ἀναλόμενος, χρῶ.- P | ἐν χρεία add. τοῖς πάσχουσιν ὑπὸ τῶν εἰρημένων νοσημάτων. L ¦ **2, 1** καταστέλλων ἰσχυρός post στόματι X ¦ | ἰσχυρῶς X L | τὰς L | τε om. X | σηπεδόνας post στόματι L **2** θεραπεῦον L | καὶ[1] om. L | καὶ οὖλα post σηπεδόνας X | καὶ παντοῖα πάθη om. P | ἄλλα L | post πάθη add. ὅμοια L | ἡ σύνθεσις X **3** Τιτάνεως X ¦ τιτάνου L | ζζ΄΄ P | ταῦτα om. P X **4** post τρίψας add. καὶ ποιήσας L | τρίψας – χρείας om. P | ὡς om. X | καὶ ποιήσας χνοώδη L | ἐπὶ – χρείας om. L | ἐπὶ – τρῖβε om. X | post καύμασιν add. καὶ μαλάξας P | χρῶ om. X ¦ καὶ ἀποθέμενος δίδου τοῖς ἐν χρεία γινιμένοις. L **3, 1** πάνυ καλόν om. P | δόκιμον X | ἡ σύνθεσις X **3** στυπτηρίας om. P | τρίψας – χρείας] σκευάσας χρῶ.- P ταῦτα – χρείας om. X | καὶ ποιήσας χνοώδη L

4 δʹ Ξηρίον, ὁ Ἡρακλῆς, ἀντὶ καυστῆρος, τοὺς τίλους δι᾽ ἐκκενοῦν πείρᾳ πολλῇ· ἔχει:

Χαλκίτεως· σανδαράχης· ἀρσενικοῦ· ἀσβέστου· μίσυος, ἀνὰ οὐγγ ἥμισυ· τρίψας καλῶς ταῦτα, δεῦσον σὺν ὄξει δριμεῖ τὸ ἀρκοῦν καὶ ξήρανον· ἐπὶ δὲ τῆς χρείας, λείωσον ἐξ αὐτῶν, ἐπὶ τρίτον καὶ χρῶ.

5 εʹ Ξηρίον πταρμικόν, διαφορητικόν· ἔχει:

Ἐλλεβόρου, οὐγγ ἥμισυ· ζιντζιβέρεως, ἐξάγ αʹ καὶ ἥμισυ· ἀσάρου, γράμματα θʹ· καστόριν, γράμματα γʹ· τρίψας ταῦτα ὡς χνοῶδες, δίδου ἐπὶ τῆς χρείας.

6 ϛʹ Ξηρίον στομαχικόν, ποτόν· ποιοῦν πρὸς κατάψυξιν στομάχου καὶ ἀνορεξίαν καὶ δυσπεψίαν καὶ πόνον· παρὰ Ἰουλιανοῦ τοῦ Πιμενταρίου διὰ πείρας γὰρ ἐστὶν· ἔχει:

Κυμίνου πεφρυγμένου, οὐγγ αʹ· πεπέρεως κοινοῦ, κόκκοις δʹ καὶ ἥμισυ· δαφνοκόκκων λελεπισμένων, θʹ· πηγάνου ἡμέρου, κοκκίον αʹ· κόψας καὶ σήσας ὡς χνοῶδες, δίδου ἐξ αὐτοῦ ἐπὶ τῆς χρείας, κοχλιάριον αʹ· μετ᾽ οἰνομέλιτος καλοῦ, κράσεως αʹ· θερμάνας αὐτὸ, μετὰ στόματος σιδήρου πεπυρακτωμένου καὶ πιών, αὐτίκα ἐπὶ τὸν στόμαχον κατακλινέσθω· ἔστι γὰρ δόκιμον.

7 ζʹ Ξηρίον σαρκωτικόν, πάνυ καλόν· ἔχει:

Καδμείας· ἀλόης ξανθῆς· ψιμύθιν· λιθάργυρον· ἀμύλου· λιβάνου· ὀρόβου ἀλεύρου, ἀνὰ ὁλκῆς ἥμισυ· ἴρεως· ἀριστολοχίας σχιστῆς, ἀνὰ ὁλκὴν αʹ· τρίψας καλῶς ὡς χνοῶδες, δίδου ἐπὶ τῆς χρείας.

8 ηʹ Ξηρίον πρὸς κιονίδας, κεχαλασμένας καὶ φλεγμαίνουσαν, πάνυ δόκιμον· ἔχει:

Πεπέρεως λευκοῦ, ὁλκῆς ἥμισυ· στυπτηρίας σχιστῆς· ὁλκὴν αʹ· ζιντζιβέρεως, ὁλκῆς ἥμισυ· κηκῖδος ὀμφακίτιδος, ὁλκὴν αʹ· λειώσας ταῦτα καλῶς παράπτου ἐπὶ τῆς χρείας· χρῶ.

---

**4, 1** ἀντικαυστήριον L | τοὺς τήλους X L | ἐκκενοῖ X ¦ ἐκκενῶν L | ἄριστα L | ἡ σύνθεσις X **2** τιτάνεως P τρῖψον X | τρίψας – 3 σὺν om. P **3** καλῶς – δεῦσον om. X | μετ᾽ ὄξους δριμύτατον X ¦ μετ᾽ ὄξους δριμέος L ¦ | ὄξους δριμαίου P | τοῦ ἀρκοῦντος L | λειώσας ψύξον καὶ ὅταν ξηρανθεῖ, πάλαι P **4** ἐξ αὐτῶν om. P αὐτοῦ X **5, 1** ἡ σύνθεσις X **2** ζζʹʹ X **3** καστορίου X L | τρία P | σκευάσας χρῶ. P | ταῦτα – χρείας om. X καὶ ποιήσας χνοώδη L **6, 1** στομαχικόν ποτόν transp. L | ὠφελοῦν L | εἰς ψυχρότηταν X | εἰς L **2** post πόνον add. ἐκτεθέν, P ¦ add. ὅπερ ἔλαβον L ¦ | διὰ – ἐστὶν om. X ¦ καὶ εἶδον δόκιμον ἐν χρείᾳ πείρᾳ L ¦ | γὰρ ἐστὶν om. P | ἡ σύνθεσις X **3** πεφρυγμένου om. X | κοινοῦ om. P X | post κόκκοις add. θʹ ἢ P ¦ κόκκοι X **4** ἡμέρου om. X | κοκκίον] βʹ ἢ P | κόψας – 5 χνοῶδες] τρίψας X | post σήσας add. καὶ ποιήσας L | ὡς χνοῶδες om. P ¦ χνοώδη L **5** δίδου – χρείας] ἡ δόσις X | ἐξ – χρείας om. P **6** μία P | στομώματος X ¦ om. L ὁ δὲ L **7** ἔστι – δόκιμον om. X ¦ καὶ θεραπευθήσεται. L **7, 1** πάνυ καλόν om. P ¦ τὸ διὰ ἀλόης X | ἡ σύνθεσις X **2** ξανθῆς om. P X | ψιμυθίου L | λιθαργύρου P | ὀροβίνου P X L **3** σχιστῆς om. P X | ἀνὰ[2] – αʹ om. P post τρίψας add. ταῦτα L | post καλῶς add. καὶ ποιήσας L | καλῶς – 4 χρείας] καὶ λεάνας, χρῶ. P ¦ om. X ¦ χνοώδη L **4** τοῖς ἐν χρείᾳ add. γενομένοις L **8, 1** κεχαλασμένην L | φλεγμενούσας P | πάνυ δόκιμον om. P X | ἡ σύνθεσις X **2** ζζʹʹ X **3** τρίψας X | ταῦτα καλῶς transp. L | ταῦτα – χρείας om. P X **4** χρῶ om. X L

θʹ Ξηρίον πρὸς σταφυλήν, καταστάζουσα καὶ κεχαλασμένην· πάνυ καλόν· ἔχει: 9

Στυπτηρίας σχιστῆς· κηκῖδος ὀμφακίτιδος, ἀνὰ ὁλκῆς ἥμισυ καὶ τέταρτον· πεπέρεως λευκοῦ, οὐγγ ἥμισυ· ῥόδων ἄνθος, οὐγγ ἥμισυ· γράμματα γʹ· κόψας καὶ σήσας ὡς χνοῶδες, ἀπόθου ἐν ὑελίνῳ ἀγγείῳ· ἐπὶ δὲ τῆς χρήσεως· εἰς χαλκοῦν σιφώνιον βαλὼν τοῦ ξηρίου, ἐμφύσα ἄνωθεν τῇ σταφυλῇ· χρῶ.

ιʹ Ξηρίον, πρὸς κιονίδας, κεχαλασμένας καὶ γαργαρεῶνα φλεγμαίνοντα· ἔχει: 10

Κόστου Ἀλεξανδρινοῦ, οὐγγ αʹ· κηκῖδος ὀμφακίτιδος, οὐγγ ἥμισυ· κόψας καὶ σήσας καλῶς, μῖξον μετὰ μέλιτος Ἀττικοῦ τὸ ἀρκοῦν καὶ διάχριε, σὺν πτερῷ ἐσώτατα καὶ οὕτως χρῶ.

ιαʹ Ξηρίον ἀνθηρόν, πρὸς σταφυλὴν ῥευματιζομένην καὶ οὖλα ἀφιστάμενα καὶ πρὸς 11
σηπεδόνας καὶ οὖλα αἱμασσόμενα καὶ ὀδόντας κινουμένους, πάνυ θαυμαστόν· ἔχει:

Ἴρεως Ἰλλυρικῆς· σανδαράχην· κυπέρεως· στυπτηρίας σχιστῆς· κυτίνων ῥοᾶς· ζιντζιβέρεως· κροκομάγματος· κρόκου, ἀνὰ ὁλκὴν αʹ· κόψας καὶ σήσας ὡς χνοῶδες, χρῶ· πρὸς μὲν τὰς σηπεδόνας καὶ τὰ ἀφιστάμενα καὶ αἱμασσόμενα οὖλα καὶ ὀδόντας κινουμένους, ξηρίον· πρὸς δὲ τὰς ἐσχάρας, μετὰ μέλιτος· χρῶ.

ιβʹ Ξηρίον, πρὸς βατράχων παιδίων θαυμαστόν· ἔχει: 12

Ἡδυόσμου ξηροῦ· πεπέρεως λευκοῦ, ἀνὰ γράμματα βʹ καὶ ἥμισυ· ἁλὸς ἀμμωνιακοῦ, γράμματα ιʹ· φύλλου, γράμματα γʹ· κόστου γράμματα βʹ· τρίψας καλῶς ἀναλάμβανε σὺν μέλιτι Ἀττικῷ τὸ ἀρκοῦν καὶ ὑπὸ τὴν γλῶσσαν τρῖβε καὶ θεραπεύσεις· χρῶ.

ιγʹ Ξηρίον, πρὸς βατράχων παιδιῶν, ὑπὸ τὴν γλῶσσαν γινομένων· πάνυ καλὸν διὰ 13
πείρας· ἔχει:

Κόστου· κηκῖδος ὀμφακίτιδος· μαράθρου σπέρμα παλαιοῦ, ἀνὰ ὁλκῆς ἥμισυ· πεπέρεως κοινοῦ, κοκκία εʹ καὶ ἥμισυ· ἅλατος κοινοῦ, κοκκίον αʹ καὶ ἥμισυ· κολοκυνθίδος· ὀστρακίνου ξηροῦ κεκαυμένου, γράμματος ἥμισυ· θύμου κορύμβους·

**9, 1** κεφαλήν X | πάνυ καλόν om. P X | ἡ σύνθεσις X **3** ἄνθους ῥόδων L | ἄνθους X | κόψας – ὡς] τρίψας X | ὡς χνοῶδες om. P ¦ καὶ ποιήσας χνοώδη L **4** ἀπόθου – χρήσεως] καὶ βαλὼν X | χρείας L | εἰς – σιφώνιον post ξηρίου L | σύμφωνον X | βαλών – 5 ξηρίου om. X **5** ἄνωθεν om. P | χρῶ om. P X L **10, 1** post Ξηρίον add. ἄλλον P | ἡ σύνθεσις X **2** Ἀλεξανδρινοῦ om. X ¦ | τρίψας χνοῶδες X **3** καλῶς om. P μετὰ om. X | Ἀττικοῦ om. X | Ἀττικοῦ – ἀρκοῦν om. P | τοῦ ἀρκοῦντος L | post διάχριε add. ἐξ αὐτοῦ L διὰ πτεροῦ L | ἐσώτατα – 4 χρῶ] ἔνδον. X | καὶ οὕτως χρῶ om. P L **11, 1** πρὸς[2] – 2 οὖλα om. P **2** καὶ[1] – αἱμασσόμενα om. L | post καὶ[2] add. σηπεδόνας καὶ P | ὀδόντας κινουμένους transp. P | πάνυ θαυμαστόν om. P X | ὠφέλιμον L | ἡ σύνθεσις X **3** post κυπέρεως add. ἀνὰ ὁλκὴν αʹ· P | κυτίνης L **4** ζζʹʹ X | τρίψας X post σήσας add. καὶ ποιήσας L | ὡς χνοῶδες om. P ¦ χνοώδη L **5** μὲν – 6 κινουμένους] τὰ ῥηθέντα X **6** χρῶ post ξηρίον P ¦ om. X L **12, 1** βατράχους X L | θαυμαστόν om. P X ¦ ὠφέλιμον L | ἡ σύνθεσις X **2** Ἡδύοσμον ξηρόν, add. γράμματα βʹ· P | ἅλατος L **3** τρίψας καλῶς om. P | καλῶς om. X **4** σὺν om. P L Ἀττικῷ – ἀρκοῦν om. P | Ἀττικῷ – χρῶ] καὶ παράτριβε. X | τῷ ἀρκοῦντι L | καὶ[1]] ἐπὶ δὲ τῆς χρείας τίθει L χρῶ om. P L **13, 1** post Ξηρίον add. ἕτερον L | βάτραχον X | παιδιῶν om. X ¦ παιδίων L | παιδιῶν – καλὸν] ὁμοίως P | γινόμενον X ¦ γινομένους L | πάνυ – 2 πείρας om. X **2** ἡ σύνθεσις X **3** σπόρου X ¦ σπέρματος L παλαιοῦ om. X **4** κοινοῦ[1] om. P X | κοινοῦ[2] om. P X **5** κολοκύνθης ξηρᾶς X | ὀστράκου L | καὶ κορύμβου θύμου L

τρίψας καὶ σήσας ταῦτα πάντα, ἀπόθου ἐν ἀγγείῳ· ἐπὶ δὲ τῆς χρήσεως, τρῖψον μετὰ μέλιτος, τὸ ὑπὸ τὴν γλῶσσαν καὶ οὕτως ὕστερον, ἐπίπασσε τὸ ξηρίον· χρῶ.

14 ιδ΄ Ξηρίον, ἀνθηρὸν λεγόμενον· ποιοῦν πρὸς νομὰς τὰς ἐν τῷ στόματι γινομένας· ἔχει:

Κόστου· ῥοὸς Συριακοῦ, ἀνὰ ὁλκὰς δ΄· ῥόδων ἄνθος· ὁλκὰς η΄· ζιντζίβερι, ὁλκὰς ιε΄ καὶ ἥμισυ· τρίψας ὡς χνοῶδες, δεῦσον μετὰ μέλιτος Ἀττικοῦ τὸ ἀρκοῦν.

15 ιε΄ Ξηρίον στοματικόν, ἀναγκαῖον, πρὸς ῥευματιζόμενα οὖλα· ἔχει:

Μαράθρου φύλλα, ὁλκὴν α΄· κασίας, ὁλκὰς β΄· πεπέρεως κοινοῦ, ὁλκὴν α΄· βερνικαρίου· ὁλκὰς ιβ΄· λειώσας ταῦτα ὡς χνοῶδες, χρῶ ὡς δόκιμον.

16 ις΄ Ξηρίον, ποιοῦν πρὸς σηπεδόνων τῶν ἐν τῷ στόματι καὶ πρὸς καρκινώματα καὶ δυσωδίαν στόματος καὶ σειομένους ὀδόντας καὶ πεπλανώμενα οὖλα σφίγγει· ποιεῖ καὶ πρὸς τοὺς λεγομένους βατράχους, τοὺς ἐν τῇ γλώσσῃ καὶ σίελον, ἐπὶ πολὺ φερόμενον, στέλλει διὰ πείρας·

Ῥοῶν, φλοιοῦ· ἀμυγδάλων φλοιοῦ· κολοκύνθης ξηρᾶς· ὀστράκων κεκαυμένων· φοινίκων ὀστᾶ κεκαυμένα· κόστου· καρεοφύλλου· πεπέρεως κοινοῦ, ἀνὰ οὐγγ ἥμισυ· κόψας καὶ σήσας ὡς χνοῶδες, πρὸς μὲν ὀδόντων οὐλάς· σιέλου, ξηρίον προστίθει· πρὸς δὲ τὰ ἄλλα πάθη, μετὰ μέλιτος Ἀττικοῦ τὸ ἀρκοῦν, προστίθει· χρῶ· δόκιμον γάρ ἐστὶν τὸ τοιοῦτον πρὸς τὰ τοιαῦτα.

---

9 θʹ Πεσσὸς ἐμμήνων κινητικῶν, διὰ πείρας· ἔχει:

Κηροῦ καθαροῦ, οὐγγ γʹ· ὀποπάνακος, οὐγγ βʹ· πηγάνου φύλλων χλωρῶν, οὐγγ βʹ καὶ ἥμισυ· ἐλαίου κυπρίνου, λίτρας ἥμισυ· τρῖψον τὸ πήγανον καὶ τὸν ὀποπάνακα, ἰδία καὶ τὸν κηρὸν μετὰ τοῦ κυπρίνου ἐλαίου, ἑψήσας καὶ ἐν κηρώσας καλῶς, πρόσμιξον τὰ ἀμφότερα καὶ σκευάσας καλῶς, ἀπόθου κατὰ τοῦ ὀμφαλοῦ καὶ τῶν ὑπογαστρίων καὶ οὕτως χρῶ.

10 ιʹ Πεσσὸς καλούμενος χρυσός· ποιοῦν πρὸς πᾶσαν σκληρίαν καὶ περὶ ὀδύνας ἄκρως καὶ μάλιστα, τοὺς ἐκ τοῦ τοκετοῦ φορᾶς γινομένας· πάνυ θαυμαστός, ἔχει:

Ῥητίνης· τερεβινθίνης· κηροῦ Τυρρηναϊκοῦ· μυελοῦ ἐλαφείου· ὑσσώπου Ἀττικοῦ, ἀνὰ οὐγγ γʹ· στέατος ὀρνιθίου· στέατος ἀρκείου, ἀνὰ οὐγγ ἥμισυ· κυπρίνου ἐλαίου, οὐγγ αʹ καὶ ἥμισυ· ταῦτα πάντα τήξας καλῶς καὶ λειώσας, ἀπόθου ἐν πυξίδι καὶ χρῶ, ὡς ἐνεργέστατον.

---

**7, 1** ζʹ iter. εʹ X | θαυμαστός] ἔχει P ¦ ἡ σύνθεσις X ¦ add. ἔχει L **2** Τυρρηναϊκοῦ – ποντικοῦ om. X | post ποντικοῦ add. ὅσον P | ῥοδελαίου X | ἐλαίου om. P **3** ὀπτῶν X | τήξας – 4 τρῖβε om. P | ταῦτα – 4 καλῶς[1]] τὰ τηκτὰ X **4** τοῦ κρόκου P | τὸ ἀρκοῦν] τρῖβε P ¦ om. X ¦ τοῦ ἀρκοῦντος L | πάντα – 5 χρείας] δόκιμον καὶ P | πάντα – 5 χρῶ om. X **5** χρῶ om. L **8, 1** θαυμαστός om. P X | post πείρας add. ἔχει P L ¦ add. ἡ σύνθεσις X **2** Κοχλίας L | τοὺς[1] om. X | τῶν Ἀφρικανῶν L | τῶν μεγάλων L **3** καλῶς – 4 αὐτοῖς] ἐπιμελῶς καὶ λειώσας πρόσμιξον P **4** σὺν om. L | post ὀλίγον add. πᾶλαι P | ὥστε[1]] εἰς X | ἔχειν om. X ἀληθινόν ὥστε] καὶ τὴν πιτυΐαν καὶ X | ποίει πεσσὸν X **5** πάντα ἀπ᾽] καὶ ἀνελόμενον ἐξ P | πάντα – πρόστιθε] καὶ ἔνθες X | προστίθει L **6** ἐπὶ om. X | τρεῖς P | καὶ[1] om. X | ἡ γυνή om. P X ¦ post γʹ L παραχρῆμα P ¦ om. L **9, 1** ζʹ X | διὰ πείρας om. X | post πείρας add. δόκιμος L | ἡ σύνθεσις X **2** καθαροῦ om. P X **3** κυπρινέλαιον X | ἥμισυ[2] in margine κρόκον δράμ αʹ P **4** post τὸν add. κρόκον καὶ τὸν P κυπρινελαίου X | ἐλαίου om. P | καὶ[2] – καλῶς om. P | ἐν – πρόσμιξον] ἑνώσας X | τὰ om. L | τὰ – 5 καλῶς] καὶ ἐγκηρώσας P **5** post καὶ[1] add. μαλάξας καὶ L | καὶ[1] – τοῦ] ἄλειφε X | ἐπίθες L | ὀμφαλὸν X ὑπογάστριον X | καὶ[3] – 6 χρῶ om. P X ¦ add. τῆς γυναικὸς καὶ κινηθήσονται τὰ αὐτῆς ἔμμηνα L **10, 1** ηʹ X χρυσοὺς X | ποιοῦν om. X ¦ ὠφέλιμος L | εἰς X | περιωδυνίας P L | ἄκρως om. X L **2** πρὸς τὰς X γιγνομένας P | γινομένας – θαυμαστός om. X | πάνυ θαυμαστός om. P L | ἡ σύνθεσις X **3** Τυρρηναϊκοῦ om. X | ἐλάφου P X **4** post ὀρνιθίου add. καὶ χηνείου, ἀνὰ οὐγγ βʹ· χαλκάνθου P ¦ ὄρνιθος add. καὶ χηνός, ἀνὰ οὐγγ βʹ X L | post στέατος[2] add. λεοντείου καὶ P L ¦ add. λέοντος καὶ X | post ἀρκείου add. καὶ νησσῶν P ¦ ἄρκτου X | κυπρινελαίου X | ἐλαίου om. P **5** ταῦτα πάντα om. X | τῆξον X | καλῶς – 6 ἐνεργέστατον om. X | καὶ[3] om. P | χρῶ – 6 ἐνεργέστατον] δίδου ἐπὶ τ[ης χρείας L

ια´ Πεσσός, λιβιανός, πρὸς σκίρρωσιν καὶ διάτασιν καὶ φλεγμονῆς καὶ κονδύλωμα μήτρας· ἔχει: 11

Στέατος χηνείου, οὐγγ ἥμισυ· στέατος ὀρνιθείου· μυελοῦ ἐλαφείου· ὑσσώπου· κρόκου· κηροῦ Τυρρηναϊκοῦ, ἀνὰ οὐγγ α´ καὶ ἥμισυ· μαστίχης, ὁλκὰς β´· ταῦτα πάντα τρίψας καλῶς, δεῦσον μετὰ ᾠῶν ἑφθῶν· λεκίθους β´ καὶ χρῶ.

ιβ´ Πεσσὸς μαλακτικός, πρὸς φλεγμονὴν καὶ σκληρίαν μήτρας· πάνυ δόκιμος· ἔχει: 12

Τήλεως χυλοῦ· στέατος χηνείου· ἀνηθίνου ἐλαίου καὶ χαμαιμηλίνου, ἀνὰ οὐγγ ἥμισυ· μυελοῦ ἐλαφείου· ὑσσώπου· κηρωτῆς, τῆς διὰ χυλοῦ, ἀνὰ οὐγγ ἥμισυ· τερεβινθίνης, γράμματα γ´· ταῦτα τρίψας καλῶς καὶ σκευάσας, χρῶ.

ιγ´ Πεσσὸς ἐμμηναγωγός, διὰ πείρας· δέχεται: 13

Κυμίνου· ἐπιθύμου· ζιντζίβερι· χαλβάνης, ἀνὰ ὁλκὰς ἥμισυ· τὰ ξηρά, μετ᾽ οἴνου σμίγε τετριμμένα καλῶς· τὴν χαλβάνην, μετὰ ἰρίνου ἐλαίου καὶ οὕτως ἀναλαβὼν καλῶς, χρῶ.

ιδ´ Πεσσὸς ἐμμηναγωγός, διὰ πείρας δεδοκιμασμένος: 14

Ἀριστολοχίας, στρογγύλης, οὐγγ ἥμισυ, λειώσας μετὰ μέλιτος Ἀττικοῦ τὸ ἀρκοῦν προστίθει, μετὰ ἐρίου ῥυπαροῦ· τοῦτο καὶ δευτέρια, ἐκβάλλει· ἔστι γὰρ πάνυ διά πείρας δόκιμος· χρῶ.

ιε´ Πεσσός, ἐμμηναγωγός, δεδοκιμασμένος· ἔχει: 15

Κολοκυνθίδος, τὸ ἐντεριώνην· σμύρνης, ἀνὰ ἐξάγ α´· τρίψας ταῦτα, σκεύαζε μετ᾽ ὄξους καὶ μέλιτος Ἀττικοῦ τὸ ἀρκοῦν καὶ ἀναλαβὼν ἐν πεσσῷ, χρῶ ὡς δόκιμον.

---

**11, 1** ια´] θ´ X | φλεγμονὴν X L | κονδυλώματα X L **2** μήτρας om. X ¦ add. ὠφέλιμος L | ἡ σύνθεσις X **3** χηνὸς P X | ὄρνιθος P X | ἐλάφου P X **4** Τυρρηναϊκοῦ om. X | μαστίχης – 5 μετὰ om. X | ταῦτα – 5 μετὰ om. P **5** post καλῶς add. ἔμβαλε ἐν αὐτῷ L | δεῦσον μετὰ om. L | post ᾠῶν ἑφθῶν add. τετριμμένων καλῶς καὶ οὕτως σκευάσας post β´ L | ὀπτῶν X | σκευάσας καὶ μαλάξας P | καὶ χρῶ om. X L **12, 1** ι´ X | post μαλακτικός add. ὠφέλιμος L | πάνυ δόκιμος om. P X | ἡ σύνθεσις X **2** Τήλεως χυλοῦ transp. L | χηνὸς X ἀνηθελαίου X ¦ transp. L | καὶ om. P | χαμαιμηλελαίου X **3** ἐλάφου P X **4** τρία P | ταῦτα – σκευάσας om. P | ταῦτα – χρῶ om. X | χρῶ sec. m. add. ἔμβαλε δὲ καὶ τὸ χαλβάνην P ¦ add. δίδου ἐπὶ τῆς χρείας L **13, 1** ια´ X | λίαν θαυμαστὸς X | post πείρας add. δόκιμος L | ἔχει P L **2** ζζ´´ X ¦ ζιντζιβέρεως L | post ξηρὰ add. τρίψας καλῶς L | μετ᾽ – σμίγε transp. L | μετ᾽ – 3 καλῶς[1]] τρίψας, δεῦσον μετ᾽ οἴνου X | μίσγε L **3** τετριμμένα καλῶς] καὶ P ¦ om. L | ἰρίνου ἐλαίου transp. X | καὶ – χρῶ om. X | οὕτως om. P | post ἀναλαβὼν add. καὶ σκευάσας L | καλῶς[2] om. P | δίδου ἐπὶ τῆς χρείας L **14, 1** ιβ´ X | διὰ πείρας] om. X post δεδοκιμασμένος add. ἔχει P L **2** στρογγύλης om. X | καὶ ἀνελόμενος P | ἔνθες X | τὸ ἀρκοῦν om. L **3** post τοῦτο add. ἐνεργέστατον L | post δευτέρια add. μετὰ τὴν γένναν L | ἔστι – 4 χρῶ om. P X | διά – 4 δόκιμος transp. L **15, 1** post Πεσσός add. ἕτερος L | δεδοκιμασμένος ἔχει] λίαν θαυμαστὸς X **2** Κολοκυνθίδος – ἐντεριώνην transp. L | τὸ ἐντεριώνην om. X | ζζ´´ P | ἀνὰ – α´] ἴσα P | τρίψας – σκεύαζε om. P | ταῦτα σκεύαζε] δεῦσον X **3** Ἀττικοῦ om. X | Ἀττικοῦ – καὶ[2] om. P | καὶ[2] – δόκιμον om. X | ὡς δόκιμον om. P | δοκίμῳ ὄντι L

16 ις΄ Πεσσοῦ, λιβανάτου, σκευασία· ὠφελεῖ, πρὸς σκίρωσιν καὶ διάστασιν καὶ φλεγμονὴν καὶ κονδυλώματα μήτρας· ἔχει:

Στέατος χηνείου, οὐγγ ἥμισυ· στέατος ὄρνιθος· μυελοῦ ἐλάφου· ὑσσώπου· κρόκου· κηροῦ Τυρρηναϊκοῦ, ἀνὰ οὐγγ α΄ καὶ ἥμισυ· μαστίχην, ὁλκὰς β΄· ταῦτα τρίψας καλῶς, σκεύαζε μετὰ ᾠῶν ἑφθῶν, λεκίθους β΄ καὶ οὕτως σκευάσας καλῶς, χρῶ.

17 ιζ΄ Πεσσός, ἐμμηναγωγός, διὰ πείρας δόκιμος· ἔχει:

Κηροῦ, ἐξαγ α΄ καὶ ἥμισυ· ὀποπάνακος, ἐξαγ α΄ καὶ τέταρτον· ἐλαίου κυπρίνου, οὐγγ ἥμισυ· τρῖψον τὸ πήγανον καὶ τὸν ὀποπάνακα· ἰδία καὶ τὸν κηρόν, μετὰ τοῦ κυπρίνου ἐλαίου ἑψήσας, πρόσμιξον ἀμφοτέρα καὶ ἐγκηρώσας καλῶς, ἀπόθου κατὰ τοῦ ὀφθαλμοῦ καὶ τῶν ὑπογαστρίων· χρῶ.

18 ιη΄ Πεσσός ἐμμηναγωγός, διὰ πείρας· ἔχει:

Κυμίνου Αἰθιοπικοῦ· σμύρνης· χαλβάνης· στέατος χηνός, ἀνὰ ὁλκῆς ἥμισυ· τὰ ξηρὰ σμίγε μετ᾽ οἴνου καλοῦ· τὴν δὲ χαλβάνην, μετ᾽ ἐλαίου μυρίνου ἢ ἰρίνου καὶ σκευάσας καλῶς, χρῶ.

19 ιθ΄ Πεσσός ἐμμηναγωγός, διὰ πείρας δόκιμος· ἔχει:

Ἀριστολοχίας, στρογγύλης· λειώσας μετὰ μέλιτος Ἀττικοῦ τὸ ἀρκοῦν, πρόσθες μετ᾽ ἐρίου ῥυπαροῦ· ἐμβάπτων τὸν πεσσόν, εἰς ἐλαίου πηγανίνου· τοῦτο καὶ δευτέρια ἐκβάλλει· χρῶ.

20 κ΄ Πεσσός, δόκιμος, ὡς ὁ πρὸ τούτου· ἔχει:

Τῆλις· χαλβάνης· καστόριν· μόσχον· στάχος· ἀριστολοχίας στρογγύλης· ὑσσώπου ὑγροῦ· λέπος χηνός· ταῦτα τρίψας καὶ σκευάσας καλῶς· δεῦσον μετ᾽ ἐλαίου κυπρίνου τὸ ἀρκοῦν· χρῶ.

---

**16, 1** ις΄] ιδ΄ P | λιβανώτου P | ὠφελοῦν L | διάτασιν X **2** ἡ σύνθεσις X **3** χηνὸς X | ἐλαφείου L **4** Τυρρηναϊκοῦ om. X | μαστίχης L | ταῦτα – 5 μετὰ om. P X **5** ᾠῶν ἑφθῶν om. L | ὀπτῶν X | post λεκίθους add. τετριμμένων καλῶς L | καὶ – καλῶς] μαλάξας P | καὶ – χρῶ om. X | σκευάσας καλῶς om. L **17, 1** ιε΄ X | διὰ – δόκιμος] ἐπαινετός X | δόκιμος om. P | ἡ σύνθεσις X **2** post α΄² add. πήγανον φύλλων χλωρῶν, ἐξάγ α΄ P X L **3** κυπρινελαίου X **4** ἐλαίου om. P | ἕνωσον X L | ἀμφοτέρα om. P | ἐγκηρώσας – ὀφθαλμοῦ] ἄλειφε ὀμφολὸν X | καλῶς om. P | ἐπίθες L | ὀμφαλοῦ L **5** τοῦ ὑπογαστρίου P X | χρῶ om. X ¦ μερῶν L **18, 1** ις΄ X | post Πεσσός add. ἄλλος L | ὁ διὰ χαλβάνης X ¦ πεπειραμένος L | ἡ σύνθεσις X **2** ἐπιθύμου P | ζζ΄΄ P | λέπος P | post χηνός add. ἠλινοζώστιν P ¦ χηνείου L **3** τρίψας χνοώδη, δεῦσον X ¦ μίσγε L | καλοῦ om. P X | μυρίνου ἢ om. X | post καὶ add. οὕτως ἑνώσας καὶ L | καὶ – 4 χρῶ om. X ἀναλαβὼν P **19, 1** ιθ΄] ιζ΄ X | post Πεσσός add. ἄλλος P | διὰ – δόκιμος] ὁ διὰ ἀριστολόχιας X | δόκιμος om. P | ἔχει om. X **2** Ἀττικοῦ – ἀρκοῦν om. P X | τοῦ ἀρκοῦντος L | πρόστιθε P | πρόσθες – 3 ῥυπαροῦ post πεσσὸν L **3** τὸν πεσσόν om. P ¦ post πηγανίνου L | τὸ πηγανέλαιον X **4** χρῶ om. X L **20, 1** κ΄ sine numero P ¦ ιη΄ X | post Πεσσός add. ἄλλος L | post δόκιμος add. ὁ διὰ τήλεως X ¦ εἰς τὰ τοιαῦτα L | ἄλλος δόκιμος, εἰς τὸ αὐτό P | ἡ σύνθεσις X **2** καστορίου X L | μόσχου L | post στάχος add. ἀνὰ δράμ ἥμισυ P post στρογγύλης add. ἀνὰ δράμ ἥμισυ· τὸν μόσχον καὶ μόνον ξυλόκοκκα ἥμισυ ἔμβαλλε P **3** λίπος X L ταῦτα om. X | ταῦτα – δεῦσον om. P | καὶ – καλῶς om. X | καλῶς δεῦσον om. L | τοῦ ἀρκοῦντος L | τὸ – 4 χρῶ om. P **4** χρῶ om. X ¦ δίδου χρῆσθαι ὡς ἀνωτέρω γέγραπται L

κα΄ Πεσσός, ἕτερος, εἰς τὸ αὐτὸ, θαυμαστός· ἔχει: 21

Ἀρτεμισίας· στύρακος· σταφίδων σάρκας καὶ ἰσχάδων λιπαρῶν, ἄνευ τῶν γιγάρτων· ἀνεμόχορτα· ἡλινόζωστον· ῥοδίνου ἐλαίου· ὑσσώπου· ταῦτα τρίψας καλῶς, σκεύαζε σὺν χηνείῳ στέατι καὶ οὕτως, χρῶ.

κβ΄ Πεσσός, ἕτερος, δόκιμος, εἰς τὸ αὐτὸ, πάνυ καλός, ἔχει: 22

Μόσχον· καστόριν· στάχος· ἀνεμόχορτα· ἡλινόζωστον· σταφίδων σάρκας καὶ ἰσχάδων, ἄνευ τῶν γιγάρτων, ἀνὰ δράμ ἥμισυ· τήξας ταῦτα πάντα καλῶς, δεῦσον μετὰ μέλιτος Ἀττικοῦ καὶ λέπος ὄρνιθος καὶ χηνὸς καὶ μετ᾽ ἐλαίου κυπρίνου τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, δίδου.

κγ΄ Πεσσός, εἰς τὸ αὐτὸ πάνυ καλὸς καὶ καθαρτικός, ἔχει: 23

Ἴρεως τὴν ῥίζαν λαβὼν καὶ περικαθάρας, ἀπόπλυνον καλῶς αὐτήν, τρὶς ἐννέα καὶ κόψας καλῶς, ἔμβαλε σὺν ταύτῃ καὶ μελάνθιν καὶ σάχαρ· σὺν ᾠοῦ τοῦ λευκοῦ· μετὰ γυναικείου γάλακτος τὸ ἀρκοῦν· ἀγαθὸν δέ, ἐὰν λέπος χηνὸς ἐμβάλῃς ἢ ὄρνιθος ἢ βουτύρου καὶ τήξας ταῦτα πάντα καὶ σκευάσας καλῶς, δίδου ἐπὶ τῆς χρείας· χρῶ.

κδ΄ Πεσσὸς ἐμμηναγωγός, πάνυ θαυμαστός· ἔχει: 24

Ἐπιθύμου· ὑσσώπου ὑγροῦ· στάχος· μόσχου· χαλβάνην· ἀνεμόχορτα· στέατος χηνός· ἀσταφίδων καὶ ἰσχάδων τῶν σαρκῶν, ἄνευ τῶν γιγάρτων, τήξας ταῦτα πάντα, δεῦσον μετὰ γάλακτος γυναικείου, τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, χρῶ.

---

**21, 1** ιθ΄ X | ἄλλος P | θαυμαστός om. P ¦ δι᾽ ἀρτεμησίας X | ἡ σύνθεσις X **2** post Ἀρτεμισίας add. δράμ α΄ P post στύρακος add. δράμ ἥμισυ P | ἀσταπίδων μεγάλων ἄνευ τῶν γιγάρτων P | σάρκας om. X | ἰσχάδων σάρκας, ἀνὰ ἐξάγ α΄ P | λιπαρῶν – γιγάρτων om. P ¦ ἀγιγάρτων X **3** post ἀνεμόχορτα add. ἀνὰ ἐξαγ α΄ P λινοζώστεως X ¦ ἡλινόζωστιν L | ἡλινόζωστον – ἐλαίου] χυλοῦ τῆλις καὶ λινοσπόρου τὸ ἀρκοῦν· εἰ δὲ βούλει ἔμβαλλε; in margine add. πόας τῆς καλουμένης στρούφυλλον, ἐξαγ β΄· χαλβάνην ἐξαγ ἥμισυ P | ῥοδελαίου X ταῦτα om. X | ταῦτα – 4 χρῶ] τοῦ φαρμάκου ὅσον δράμ α΄ καὶ ῥοδίνου ἐλαίου τὸ ἀρκοῦν P | καλῶς om. X καὶ add. ἀναλάμβανε L **4** χηνὸς X | καὶ – χρῶ om. X **22, 1** κβ΄ deest P ¦ κ΄ X | ἕτερος δόκιμος om. X | πάνυ καλός] ὁ διὰ μόσχου X | ἡ σύνθεσις X **2** Μόσχου καστορίου στάχους X L | ἀνεμόχορτων L | λινοζώστεως X | σάρκας om. X L **3** post ἰσχάδων add. λιπαρῶν σάρκας L | ἀγιγάρτων X | τρίψας L | τήξας – καλῶς] τρίψας X **4** Ἀττικοῦ om. X | λίπους X L | μετ᾽ om. X | κυπρινελαίου X | τοῦ ἀρκοῦντος L | καὶ[4] – 5 δίδου om. X **5** χρῶ. L **23, 1** κγ΄ sine numero P ¦ κα΄ X | εἰς – καὶ om. X | ἄλλος P | καὶ καθαρτικός] ὁμοίως P ἔχει] ὁ διὰ ἴρεως X **2** τὴν om. P X | λαβὼν καὶ om. X | καὶ[1] om. P | ἀπόπλυνον – 3 καὶ[1]] πλύνας κόψας, πρόσθες X | καλῶς αὐτήν transp. L | καλῶς – ἐννέα] ὕδατος γλυκέος, ἕως ἑπτάκις P | καὶ[2]] ἔπειτα P ¦ εἶτα L **3** καλῶς om. P | αὐτοῦ P ¦ αὐτῇ L | μελάνθιον L | σὺν[2]] καὶ L | σὺν[2] – 4 ἐὰν] καὶ πάλιν κόψον εἶτα πάλιν ἔμβαλε P | τῷ λευκῷ X | μετὰ γάλακτος γυναικὸς post ἀρκοῦν X **4** τοῦ ἀρκοῦντος L | λίπος X L | λέπος χηνὸς post ἐμβάλῃς L | ἐμβάλῃς om. P | ἢ[1]] λέπος P | ἢ[2] – 5 χρῶ] τὸ αὔταρκες καὶ κόψον εἶτα μάλαξον καὶ ποίησον πεσσὸν καὶ βάψον εἰς ἴρινον ἔλαιον ἢ κυπρίνου σὺν ῥοδίνῳ ἐλαίῳ καὶ ᾠοῦ τὸ λευκὸν σὺν γάλακτι γυναικείῳ καὶ ἐπιτίθει. P **5** καὶ τήξας] ἐπιπλέον ἐνεργέστερον καὶ χρήσιμον ποιήσεις, λειώσας οὖν L | καὶ[1] – χρῶ om. X | δίδου – χρείας om. L **24, 1** ἄλλος εἰς τὸ αὐτὸ· ὁμοίως P | ὁ δι᾽ ἐπιθύμου X | ἡ σύνθεσις X **2** post Ἐπιθύμου add. δράμ α΄ P | Ἐπίθυμον ὕσσωπον ὑγρὸν L | post ὑγροῦ add. δράμ ἥμισυ P | post στάχος add. ξυλόκοκκα η΄ P | post μόσχου add. ξυλόκοκκα β΄ P | post χαλβάνην add. κεράτια η΄ P | ἀνεμόχορτα – 4 χρῶ] ἡλινοζώστην, δράμ α΄· τήλεως, δράμ α΄· λέπος ὄρνιθος καὶ χηνός· ἔμβαπτε εἰς γάλακτι γυναικείῳ· ῥοδίνῳ ἐλαίῳ· κυπρίνῳ καὶ ᾠοῦ τὸ λευκὸν καὶ ἐπίβαλλε P | στέαρ L **3** σταφίδων L | καὶ om. X | τῶν[1] – γιγάρτων] ἀγιγάρτων X | τήξας – πάντα] κόψας X **4** σὺν γάλακτι γυναικὸς X | τοῦ ἀρκοῦντος L | καὶ – χρῶ om. X | καλῶς χρῶ om. L

25 κε΄ Πεσσὸς θαυμαστός, πρὸς πᾶσαν ἀκαθαρσίαν, ἀπὸ τῆς ὑστέρας· κατασπᾷ, εἰς ἔριον, κατεργασμένον καὶ ἐμπλασσόμενον καὶ εἰς ῥόδινον, ἐμβαπτόμενον καὶ πρὸς τὸ στόμα τῆς μήτρας, παρατιθέμενον· ἔχει:

Κυκλαμίνου τῆς ῥίζης τοῦ χυλοῦ· κολοκυνθίδος, τὸ ἐντεριώνην· βερνικαρίου· ἡλινοζώστεως τοῦ χυλοῦ, ἀνὰ ὁλκῆς ἥμισυ· ζιντζίβερι· σάρκας ἰσχάδων, ἄνευ τῶν γιγάρτων, ἀνὰ ὁλκὴν α΄· τήξας ταῦτα πάντα καλῶς, δεῦσον μετὰ μέλιτος Ἀττικοῦ τὸ ἀρκοῦν καὶ ποιήσας μοτόν· ἐπίβαπτε, εἰς λέπος χηνὸς ἐλαίου ἢ εἰς ῥοδίνου ἐλαίου· μετὰ ᾠοῦ τοῦ λευκοῦ καὶ σκευάσας καλῶς, ἐπίθες· χρῶ.

26 κς΄ Πεσσὸς ἐμμηναγωγός, πάνυ ἀναγκαῖος τοῦτο θαυμαστῶς, ἔμμηνα ἄγει καὶ ἔμβρυα κτείνει καὶ ἔστιν πάνυ δόκιμον· ἔχει:

Κυκλαμίνου ῥίζης τὸν ζωμόν, ἐπαλειφόμενον τὸ ἦτρον ἢ καὶ ὡς πεσσῷ, ἐπιτιθέμενον ἢ δρακοντίας ῥίζης τὸ ἀπόζεμα, ὁμοίως ποιεῖ ἢ λαβὼν ἀρτεμισίας τὸ ἀπόζεμα, ὅσον κύλικος ἥμισυ· δεῦσον μετὰ τῆς ἀντιδότου, τῆς τρυφερᾶς μάννας τῆς μεγάλης ὅσον ἐξαγ α΄ καὶ σκευάσας καλῶς, δίδου πιεῖν πρωὶ νῆστις χλιαρόν· χρῶ.

27 κζ΄ Πεσσὸς ἐμμηναγωγός, πάνυ δόκιμος· ἔχει:

Πήγανον· χαλβάνην· ἀνεμόχορτα· ἡλινόζωστιν· ἀρτεμισίαν· στάχος· ἀσταφίδων, ἄνευ τῶν γιγάρτων· ἀριστολοχίαν στρογγύλην· τήξας ταῦτα καλῶς, δεῦσον, μετ᾽ ἐλαίου κυπρίνου· γάλακτος γυναικείου καὶ μέλιτος Ἀττικοῦ τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, δίδου ἐπὶ τῆς χρείας τὸ τοιοῦτον ὠφελεῖ καὶ πρὸς ἐμπνευματώσεις· εἶτα λαβών, τῆς ἠριγέροντος βοτάνης τὰ φύλλα τὰ καὶ ὀνομαζόμενα, παρὰ τισί κόρταλα καὶ κόψας

---

**25, 1** κε΄] κγ΄ X | post Πεσσὸς add. ἄλλος δόκιμος P | θαυμαστός om. X | εἰς X | πρὸς – ἀκαθαρσίαν post κατασπᾶ L | εἰς τὸ κατασπάσαι καὶ ἐκκαθᾶραι L | τῆς om. P | κατασπῶν X | εἰς ἔριον post ἐμπλασσόμενον L **2** κατεργασμένον – ἐμπλασσόμενον transp. L | καὶ[1] om. X | post ἐμπλασσόμενον add. καὶ εἰς ἐριόνι P | καὶ[2] – ἐμβαπτόμενον om. X | ῥοδίνῳ P | πρὸς om. L | τῷ στόματι L **3** ἐντιθέμενος X ¦ προστιθέμενον post καὶ 2 L | ἡ σύνθεσις X **4** Κυκλαμίνου – χυλοῦ transp. L | τῆς om. X | τοῦ om. X | κολοκύνθης P | κολοκυνθίδος – ἐντεριώνην transp. L | τὸ ἐντεριώνην om. X **5** λινοζώστεως X | χυλοῦ ἡλινοζώστου L | τοῦ χυλοῦ om. P post ἥμισυ add. ζζ΄΄ P | ζζ΄΄ X ¦ ζιντζιβέρεως L | σάρκας om. X | σάρκας ἰσχάδων transp. P | ἄνευ – 6 γιγάρτων om. P ¦ ἀγιγάρτων X **6** ἀνὰ – καλῶς] κόψας X | τήξας – μετὰ] λείαν ἀναλάμβανε P | μέλιτος – 7 ἀρκοῦν] μέλιτι συμμέτρῳ P | Ἀττικοῦ om. X | τοῦ ἀρκοῦντος L **7** ἔμβαπτε X L | λίπος X L | ἐλαίου[1] om. X ¦ λελυμένου L | ῥοδίνῳ P | ῥοδελαίου X ¦ ῥόδινον ἔλαιον L | ἐλαίου[2] om. P **8** ᾠοῦ – λευκοῦ transp. L | τοῦ – χρῶ om. P | σκευάσας – χρῶ] πρόστιθε X ¦ ἐντίθει αὐτῷ ὡς εἴρηται τῷ στόματι τῆς μήτρας καὶ ὠφελήσει μεγάλως L **26, 1** κς΄] κδ΄ X | ἐμμηναγωγός – 2 δόκιμον] ἄλλος ὅμοιος P | πάνυ – θαυμαστῶς] ἄριστος· ὅρᾳ δὲ τίνι τοῦτον δώσεις, ὅτι οὗτος L | πάνυ – ἄγει] ὁ διὰ κυκλαμίνου X | κατασπᾶ L | καὶ ἔμβρυα post κτείνει X **2** καὶ – ἔχει om. X **3** Κυκλαμίνου ῥίζης transp. L | χυλὸν X ¦ nom. L | τοῦ ζωμοῦ, ἐπαλειφομένου τοῦ ἤτρου ἢ καὶ ὡς πεσσοῦ P | ἐπαλειφόμενος L | τῷ ἤτρῳ L | πεσσόν X ¦ nom. L | post ἐπιτιθέμενον add. τοῦτο θαυμαστόν, ἄγει καταμήνια καὶ ἔμβρυα κτένει δὲ P ¦ ἐντιθέμενος X ¦ ἐπιτιθέμενος κατάγει τὰ ἔμμηνα L **4** ἢ[1]] ὁμοίως P | δρακοντίας ῥίζης transp. L | τὸ ἀπόζεμα[1]] τοῦ ζωμοῦ P ¦ τὸν ζωμὸν L | ὁμοίως ποιεῖ transp. L ποιεῖ – 6 χρῶ om. P | λαβὼν] ἢ X | τὸ ἀπόζεμα[2]] τοῦ ἀποζέματος L **5** τῆς ἀντιδότου om. X | τῆς[2] – μεγάλης] μετὰ τῆς μεγάλης τρυφερᾶς X **6** καὶ – χρῶ] δὸς πιεῖν χλιαρόν X | χρῶ om. L **27, 1** κε΄ X | πάνυ om. P | ὁ διὰ πηγάνου X | ἡ σύνθεσις X **2** Πηγάνου χαλβάνης ἀνεμόχορτων ἡλινοζώστης ἀρτεμισίας X Πήγανον – 5 εἶτα om. P | σταφίδας L | σταφίδων ἀγιγάρτου X **3** ἀριστολοχίας στρογγυλῆς X | λειώσας L τήξας – καλῶς] κόψας X **4** Ἀττικοῦ om. X | τοῦ ἀρκοῦντος L | καὶ[2] – 5 τοιοῦτον om. X **5** τοῦτον δὲ L λαβών om. X | τῆς[2]] τοῦ X L | τῆς[2] – 6 ἠριγέροντος] τὴν ἠριγέρων P **6** βοτάνης om. X | βοτάνης – φύλλα transp. L | τὰ[1] – καὶ[1] om. P | φύλλα – τισί] καὶ X | καλούμενα P | παρὰ τισί om. X | παρὰ – 7 καλῶς] ἔνθα φύεται εἰς καταλύματα τῶν κεράμων κίτρινον ἔχει τὸ ἄνθος· ταῦτα λαβὼν· κόψον ὡς λάχανον καὶ P | κρόταλα L | καὶ[2] om. X

καλῶς, ποίησον ὡς λαχανόπιταν, μετὰ ἀρτυμάτων καὶ ἀρωμάτων καλῶν καὶ σκευάσας καλῶς· ἕψε ἐν κλιβάνῳ εἰς σύστασιν καὶ δὸς φαγεῖν τοῖς χρῄζουσιν, πρωὶ νῆστις καὶ ἑσπέρας καὶ μετὰ τὸ φαγεῖν, ὕστερον δίδου πιεῖν, κονδῖτον ἢ οἶνον παλαιόν· φέρει δὲ καταμήνια γενναίως· ἔστι γὰρ δόκιμον.

κη΄ Πεσσὸς ἐμμηναγωγός, δόκιμος· οὕτως ὁ πεσσός, πᾶσαν ἀκαθαρσίαν ἀπὸ τῆς 28
ὑστέρας κατασπᾷ καὶ εἰς ἔριον κατεργασμένον, ἐμπλασσόμενος καὶ εἰς ῥόδινον ἔλαιον ἐμβαπτόμενος καὶ πρὸς τὸ στόμα τῆς μήτρας, παρατιθέμενος· ἔχει:

Κυκλαμίνου τῆς ῥίζης τοῦ χυλοῦ, κολοκυνθίδος, ἐντεριώνην· βερνικαρίου· λινοζώστεως τοῦ χυλοῦ, ἀνὰ ὁλκὴν α΄· ζιντζίβερι, ὁλκὰς β΄· τρίψας ταῦτα ὡς χνοῶδες· δεῦσον μετὰ μέλιτος Ἀττικοῦ τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, δίδου ἐπὶ τῆς χρείας· εἶτα ὑποκάπνιζε ὑπὸ κάτωθεν, τὰ τοιαῦτα· λάδανον· βουκέριν· μαστίχην· λίβανον· κίτρου σπέρμα· ἀβάσκαντον· μαυρόμαρσον· χαλβάνην· σάμψυχον· ἡδύοσμον· ἀλισφάκιν· δενδρολίβανον· ῥόδα· χαμαίμηλα· βράσας ταῦτα, μεθ’ ὕδατος τὸ ἀρκοῦν καὶ βράσας καλῶς, ἄχλυζε ὑπὸ κάτωθεν· φέρει γὰρ καταμήνια καὶ πᾶσαν ἀκαθαρσίαν, ἀπὸ τῆς μήτρας κατασπᾷ· ὡς δόκιμον καὶ ἐπαινετόν· χρῶ.

κθ΄ Πεσσός, σταλτικός, πρὸς πᾶσαν αἱμορραγίαν καὶ πρὸς κακωθεῖσαν μήτραν· πάνυ 29
καλός· ἔχει:

Γῆς ἀστέρος· Σαμίας γῆς· ψιμύθιν· ἀμύλου· λιβάνου ἄρρενος· ἀκακίας, ἀνὰ ὁλκὰς δ΄· αἵματος δρακοντίου· μαστίχης, ἀνὰ ὁλκὴν α΄· Ἀρμένιον βῶλον, ὁλκὰς β΄· ᾠῶν τὰ λευκὰ δ΄ καὶ ἥμισυ· τρίψας τὰ ξηρὰ ὡς χνοῶδες, δεῦσον πάντα σὺν οἴνῳ εὐώδη τὸ ἀρκοῦν καὶ

**7** καλῶς om. X | post ποίησον add. μετὰ ζύμης P | μετὰ – 8 καὶ[1] om. P | καλῶν – 8 ἕψε] καὶ ἑψήσας X σκευάσας – 8 καλῶς om. L **8** ἕως L | εἰς – καὶ[1] om. X | συστάσεως L | δίδου L | τοῖς χρῄζουσιν om. X πρωὶ – 9 ἑσπέρας] φέρειν καταμήνια P | νῆστις om. X **9** καὶ – δίδου] εἶτα X | τὴν τροφὴν L | δὸς P | πιεῖν κονδῖτον transp. L | ἢ – 10 δόκιμον om. P | γὰρ X **10** γενναίως – δόκιμον] γυναικός X | ἔστι – δόκιμον om. L **28, 1** Πεσσὸς – 11 χρῶ] Πεσσός πρὸς ὀδυνομένης μήτρας καὶ ὑλώδης καὶ ἀκαθάρτας, ἔχει: Ἰσχάδων ἄνευ τῶν γιγάρτων, ἀνεμόχορτα, ἡλινοζώστην πρόσφατον, ἀσταφίδων ἄνευ τῶν γιγάρτων, χαλκάνθου στάχος τῆλις χυλοῦ λέπος χηνός, κόψον ὁμοῦ πάντα ζύμωσον μετὰ ῥοδίνου ἐλάιου καὶ γαλακτος γυναικείου σὺν ὠοῦ τοῦ λευκοῦ καὶ ἐπίθες· ἔμβαλε δὲ καὶ μόσχου. in margine Πεσσὸς δόκιμος ἐμμηνάγωγος. novum praeceptum Ἄλλος πεσσὸς ἐμμηνάγωγος δόκιμος καθαρτικός, ἔχει: Σπόρον τὸν εὑρισκόμενον [ l.n. ] καὶ καλούμενος κόκκαρε, τρίψας καὶ μίξας σαχάριτος ἢ μέλιτος ποιήσας πεσσόςν ἐπιθες καὶ μοτόν. P | οὕτως – πεσσός om. X ¦ ὅς L | πᾶσαν – 2 κατασπᾷ post παρατιθέμενος L **2** κατασπῶν X | καὶ[1] om. X | κατειργασμένον L ῥοδέλαιον X ¦ transp. L **3** τῷ στόματι L | τιθέμενος L | ἡ σύνθεσις X **4** Κυκλαμίνου – χυλοῦ transp. L | τῆς om. X | τοῦ om. X | κολοκυνθίδος ἐντεριώνην transp. L | ἐντεριώνην om. X **5** χυλοῦ λινοζώστου L | τοῦ om. X | ζζ΄΄ X ¦ ζιντζιβέρεως L | κόψον X | καὶ ποιήσας χνοώδη L **6** Ἀττικοῦ om. X | τοῦ ἀρκοῦντος L καὶ – χρείας om. X | post χρείας lac. 4 litt. P **7** ὑποκάπνιζε – κάτωθεν] ὑποθείς, κάπνιζε L | ὑπὸ – τοιαῦτα] ταῦτα X | λαπάθου X **8** σπόρου X | ἀβασκάντου μαυρομάρσου χαλβάνης σαμψύχου ἡδυόσμου X ἐλελισφάκου X **9** δενδρολιβάνου ῥόδων χαμαιμήλων X | post ῥόδα add. καὶ L | βράσας ταῦτα transp. L ταῦτα om. X | τοῦ ἀρκοῦντος L | τὸ – 10 καλῶς om. X | βράσας[2] – 10 καλῶς om. L **10** ἄχνιζε X | ἀπὸ – 11 μήτρας om. L **11** ὡς – χρῶ om. X | καὶ – χρῶ] ὃν περὶ τὰ τοιαῦτα L **29, 1** κθ΄] κ΄ P ¦ κζ΄ X | συσταλτικός L πᾶσαν om. P | πάνυ – 2 καλός om. P X **2** ἡ σύνθεσις X **3** Σαμίας γῆς transp. X L | ψιμυθίου L | ἄρρενος om. X **4** μαστίχης om. P | Ἀρμενίου βώλου L | ᾠῶν – λευκὰ transp. L | τὰ ¦ om. X | τὰ λευκὰ om. P **5** τρίψας – ξηρὰ transp. L | τρίψας – πάντα om. P | τὰ – χνοῶδες om. X | χνοώδη L | πάντα om. X L | μετ’ οἴνου εὐώδους L | ἀναλάμβανε μετὰ τῶν ξηρῶν P ¦ τοῦ ἀρκοῦντος L | τὸ – 6 ποίησον om. X

ποίησον ὡς γλοιοῦ πάχος, προεγχυμάτιζε δὲ πρῶτον, οἴνῳ μυρτίτῃ· ὕστερον δέ, ἐπίθες τὸν μοτὸν καὶ οὕτως σκευάσας, χρῶ.

30 λ´ Πεσσὸς συλληπτικός, διὰ πείρας· ἔχει:

Στυπτηρίας σχιστῆς· μελάνθου, ἀνὰ οὐγγ ἥμισυ· γεντιανῆς· γράμματα θ´· κηροῦ καθαροῦ, οὐγγ τέταρτον· τήξας ταῦτα πάντα καλῶς, δεῦσον μετὰ μύρου, σουσίνου τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, δίδου.

31 λα´ Πεσσός, πρὸς αἱμορροοῦσαν μήτραν· δόκιμος· ἔχει:

Ἀκακίας· στυπτηρίας σχιστῆς· ὑποκιστίδος χυλοῦ· κηκῖδος, ὀμφακίτιδος, ἀνὰ οὐγγ ἥμισυ· τρίψας ταῦτα ὡς χνοῶδες· δεῦσον μετὰ χυλοῦ ἀρνογλώσσου ἢ πεντανεύρου ἢ ἄλλου τινὸς χυλοῦ· ἐκ τῶν ὁμοίων καὶ παράπεμπε· ἐγχυματίζων καὶ ἐν πεσσῷ προστίθει καὶ οὕτως χρῶ.

32 λβ´ Πεσσός, πολύχρηστος· μαλάσσων σκληρίας· ἀποστροφᾶς μήτρας· στάσεως πάσης καὶ τὰς ἐγχρονίας σκίρας· μεμηκυΐας σκίρους, ἰᾶται καὶ ἔμμηνα ἄγει· μετὰ τὸ λῦσαι καὶ ἐπιφόρους ποιεῖ:

Κηροῦ, Τυρρηναϊκοῦ· στέατος χηνείου καὶ ὀρνίθου· τερεβινθίνης, τῆς τετραφαρμάκου· σουσίνου μύρου, ἀνιέμενος, ἀνὰ οὐγγ α´ καὶ ἥμισυ· ὑσσώπου κηρωτῆς, οὐγγ τέταρτον· τρίψας ταῦτα ὡς χνοῶδες καὶ σκευάσας καλῶς, δίδου ἐπὶ τῆς χρείας· χρῶ.

33 λγ´ Πεσσός, πρὸς μητρομανία· θαυμαστός· ἔχει:

Ἀρνογλώσσου χυλοῦ καὶ ἀνδράχνης, ἀνὰ οὐγγ ἥμισυ καὶ τέταρτον· ὕδατος ὀμβρίου, ψυχροῦ, οὐγγ τέταρτον· κινήσας ἐπὶ πολλὰ ταῦτα, ἄχρι μίσγωσιν καὶ ἐντὸς γένωνται καὶ οὕτως, ἐγκόλπιζε· χρῶ.

---

**6** ποιήσας P L | πρόστιθε ἐγχυματίζων P | δὲ πρῶτον om. P | πρῶτον om. X | ὕστερον – 7 χρῶ om. P | δέ om. X **7** καὶ – χρῶ om. X **30, 1** λ´] κα´ P | ἡ σύνθεσις X **2** μελανθίου X L | post θ´ add. πίτυΐα λαγωοῦ, δράμ α´ P **3** καθαροῦ om. P X | οὐγγ τέταρτον] ἐξαγ α´ καὶ ἥμισυ P | τήξας – καλῶς] τρίψας X | τήξας – μετὰ om. P | τοῦ ἀρκοῦντος L **4** καὶ – δίδου] χρῶ ὡς δόκιμον, σὺν Θεῷ P ¦ om. X **31, 1** λα´] κβ´ P | δόκιμος om. P X | ἡ σύνθεσις X **2** ὑποκιστίδος χυλοῦ transp. L **3** τρίψας – μετὰ] λεία ποιήσας, ἀναλάμβανε P ταῦτα – χνοῶδες om. X | καί ποιήσας χνοώδη L | ἢ πεντανεύρου om. P | ἢ[2] – 4 ὁμοίων om. X **4** post τινὸς add. βοτάνης L | ἐκ – ὁμοίων] λυσιτελοῦς εἰς ταῦτα L | post ὁμοίων add. χυλῶν P | ἐν] ὡς P προστιθέμενον P ¦ πρόστιθε X **5** καὶ – χρῶ om. P ¦ om. X | οὕτως om. L **32, 1** λβ´] κγ´ P ¦ λ´ X ἀπεστραμμένης L | μήτρας τὰς πάσης ἀποστροφὰς P | post μήτρας add. διορθούμενος L | ἀποστάσεως X στάσεως πάσης transp. L | στάσεως – 2 τὰς] τὰ τῆς P **2** ἐγχρονίους, μεμυκυΐας σκίρρους X | ἐμμεμηκυΐας κιρρώσεις L | ἡ σύνθεσις X **3** post ποιεῖ add. ἔχει P ¦ ποιῶν ἔχει L **4** Τυρρηναϊκοῦ om. X | χηνός X | ὄρνιθος X ¦ ὀρνιθείου L **5** ἀνιέμενος om. X L | post οὐγγ add. ἥμισυ ἢ P **6** οὐγγ τέταρτον] ἐξάγ α´ καὶ ἥμισυ P τρίψας – χρείας om. P | τρίψας – 7 χρῶ om. X | ταῦτα – σκευάσας] τὰ ξηρὰ καὶ δεύσας μετὰ τῶν τηκτῶν καὶ ὑγρῶν καὶ μαλάξας L **33, 1** λγ´] κδ´ P ¦ λα´ X | θαυμαστός om. P ¦ ὠφέλιμος L | ἡ σύνθεσις X **2** Ἀρνογλώσσου χυλοῦ transp. L | post ἀνδράχνης add. χυλοῦ P | οὐγγ – τέταρτον] ἐξάγ δ´ καὶ ἥμισυ P ὕδατος ὀμβρίου transp. X | ὀμβρίμου L **3** οὐγγ τέταρτον] ἐξαγ α´ καὶ ἥμισυ P | ἐπὶ πολλὰ om. L | πολλὰ ταῦτα] πολὺ X | ταῦτα] πάντα P | ἄχρις ἂν X | μιργῶσιν P | καὶ[1] – 4 οὕτως] μετὰ ταῦτα L | ἕν X | καὶ[2] – 4 οὕτως om. P **4** χρῶ om. P X

λδʹ Πεσσός, πρὸς στραγγουρίαν γυναικός, δόκιμος· ἔχει: 34

Σκόροδα, λεπίσας, λεῖε ἐν θυίᾳ, ἐπιμελῶς καὶ ἐρίῳ ἑλκύσας, ἔντιθε ὡς πεσσόν· τοῦτο δὲ ἐστὶ δόκιμον καὶ πεπειραμένον· χρῶ.

λεʹ Πεσσός, συλληπτικὸς διὰ πείρας καὶ ἐπωφελής· ἔχει: 35

Βουτύρου προσφάτου, οὐγγ αʹ καὶ ἥμισυ· μέλιτος Ἀττικοῦ, καθαροῦ τρακταίου, οὐγγ ἥμισυ· νάρδου Κυζικηνοῦ· πιτυΐας λαγωοῦ, ἀνὰ οὐγγ γʹ· ὀποῦ βαλσάμου, γράμματα δʹ καὶ ἥμισυ· ταῦτα πάντα καλῶς, δίδου μετὰ τὴν κάθαρσιν τῆς γυναικός, τὸν τοιοῦτον πεσσὸν καὶ οὕτως πρόστιθε.

λϛʹ Πεσσός συλληπτικός, πάνυ καλὸς καὶ δεδοκιμασμένος: 36

Πιτυΐας λαγωοῦ· μύρου, φολιάτου· γάλακτος ὀνείου, ἀνὰ οὐγγ ἥμισυ· τρυφερὰ μάννα, ἐξαγ δʹ· ζωμὸν ἀβασκάντου, οὐγγ ἥμισυ· τήξας καὶ δεύσας καὶ ποιήσας, γλοιοῦ πάχος· προστίθει ἐπὶ τὸν κόλπον, ἐπὶ ἡμέρας πέντε· πρωὶ καὶ ἑσπέρας· τὰς δὲ τοιαύτας ἡμέρας, μὴ συγγινέσθω μετὰ τοῦ ἀνδρὸς αὐτῆς· ἀλλὰ μετὰ τὰς πέντε ἡμέρας, συνουσιαζέτω καὶ εὐθέως συλλαμβάνει.

Πεσσός, ἐμμηναγωγός, διὰ πείρας· ἔχει: 36a

Βουκέριν· μαστίχην· ἰσχάδων σάρκας καὶ ἀσταφίδων, ἄνευ τῶν γιγάρτων· μαυρομάρσον· ἀβάσκαντον· σκαρολάχανον· χαλβάνην· στροβίλου ῥίζαν· λάδανον· βούτυρον· μοσχοκάρυδα· ὀξούγγην ὄρνιθος· τρυφερὰ μάννα, ἀνὰ ἐξαγ ἥμισυ· ἀγριοβαμβακίας φύλλα καὶ τὸ σπέρμα, ἀνὰ δράμ ἥμισυ· κόψας ταῦτα καλῶς, δεῦσον μετὰ ᾠοῦ ἐρυθροῦ καὶ γάλακτος γυναικείου τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, δίδου ἐπὶ τῆς χρείας· πρωί, ἑσπέρας.

---

**34, 1** λδʹ] κεʹ P | δόκιμος om. P | δόκιμος ἔχει om. X **2** λείου X | ἔνθες X L ¦ add. τῇ μήτρᾳ L | post πεσσόν add. καὶ θεραπεύσεις L **3** δὲ ἐστὶ om. X | ἐστὶ δόκιμον transp. L | καὶ om. P | καὶ – χρῶ om. X πεπειραμένον om. L | χρῶ om. P **35, 1** λεʹ] λγʹ X | διὰ – ἐπωφελής] ὁ διὰ βουτύρου X | καὶ ἐπωφελής om. P | ἡ σύνθεσις X **2** προσφάτου om. P | Ἀττικοῦ om. P | Ἀττικοῦ – τρακταίου om. X **3** Κυζικηνοῦ om. X ὀποβαλσάμου X **4** ποίησον ὡς πεσσὸν ἀνελόμενον καὶ P ¦ ἔνθες X | post πάντα add. τήξας καὶ σκευάσας L post δίδου add. ταῖς μὴ τικούσης γυναιξί, χρῆσθαι | τῆς – 5 πρόστιθε om. X L | τὸν – 5 οὕτως om. P **36, 1** λϛʹ] κζʹ P | post Πεσσός add. ἄλλος L | post συλληπτικός add. ἄλλος P | πάνυ καλὸς post δεδοκιμασμένος L | πάνυ – δεδοκιμασμένος] ἄλλος διὰ πείρας, ἡ σύνθεσις X | post δεδοκιμασμένος add. ἔχει P **2** τρυφερὰ – 3 μάννα] μεγάλης τρυφερᾶς X | τρυφερὰ – 3 δεύσας] ταῦτα ὁμοῦ λειώσας P **3** ζωμοῦ X L | τήξας καὶ om. X καὶ$^{2}$ – 4 ἐπὶ$^{2}$] ἔνθες X **4** ἐπὶ$^{1}$ – κόλπον om. P | τοῦ κόλπου δεῦσας L | εʹ P X | πρωὶ – ἑσπέρας om. P | τὰς – 5 ἡμέρας$^{2}$] εἶτα X **5** post ἡμέρας$^{1}$ add. κέλευσον ἵνα P | συγγίνεται add. ἡ γυνή P | μετὰ$^{1}$ – ἀνδρὸς] τῷ ἀνδρὶ P | ἀλλὰ om. L | μετὰ$^{2}$] πληρούμενον τῶν δηλούμενων P | τὰς – ἡμέρας$^{2}$] τῶν πέντε ἡμερῶν P **6** συνουσιαζέτω] κέλευε συγγίνεσθαι P συνουσιαζέσθω L | συνουσιαζέτω – συλλαμβάνει] συνουσίαζε X εὐθέως om. L | συλλαμβάνει] Θ<εο>ῦ χάριτι συλλήψεται P **36a, 1** deest P ¦ λεʹ X ¦ sine numero S ¦ λζʹ L πείρας] χαλβάνης X | ἡ σύνθεσις X **2** Βουκέρεως L | μαστίχης L | σάρκας καὶ om. X | σταφίδων X ἀγιγάρτων X **3** χαλβάνης L | ῥίζης X L | λαδάνου βουτύρου X L **4** μοσχοκαρύων L | στέατος X ¦ ἀξούγγιον L | μεγάλης τρυφερᾶς X **5** φύλλων L | σπόρου X ¦ τοῦ σπέρματος L | ταῦτα καλῶς om. X **6** ἐρυθροῦ τῶν ᾠῶν L | γάλακτος γυναικείου transp. L | γυναικὸς X | τοῦ ἀρκοῦντος L | καὶ$^{2}$ – 7 χρείας] ἔνθες X | ἐπὶ – 7 χρείας om. L

37 λζʹ Πεσσὸς καθαρτικός, πάνυ καλός· διὰ πείρας· ἔχει:

Λαβὼν ἀγριοβαμβακίας φύλλα καὶ τὸ σπέρμα καὶ οὐξύγγην ὄρνιθος καὶ χηνός· ἔμβαλε δὲ καὶ ἀβάσκαντον καὶ κόψας ταῦτα καλῶς, δεῦσον μετὰ γάλακτος γυναικείου τὸ ἀρκοῦν καὶ δίδου.

37a Πεσσός, συλληπτικὸς διὰ πείρας δόκιμος· ἔχει:

Πιτυΐαν λαγωοῦ· καρύου ποντικοῦ τὸ μέγεθος· μετὰ τοῦ ἐρυθροῦ τοῦ ᾠοῦ· ὀλμοκοπήσας καλῶς, δὸς ἐξ αὐτοῦ, προχρίσασθαι τὴν μήτραν, ἕως ὁ δάκτυλος αὐτῆς ἀφικνεῖται καὶ μεταξὺ πλησιάσαι καὶ ἐὰν ἄρρενος λαγωοῦ ἡ πιτυΐα ἐστὶν, ἄρρεν συλλήψεται· ἐὰν δὲ θήλεος, θῆλυ· χρῶ.

38 ληʹ Πεσσός, Γαληνοῦ, πρὸς ἡλκωμένην μήτραν· ἔχει:

Πομφόλυγος Ἰνδικοῦ· λιβάνου ἄρρενος· ἀμμωνιακοῦ θυμιάματος· κηροῦ τρακταίου· μολύβδου κεκαυμένου· λυκίου, ἀνὰ οὐγγ ἥμισυ· τερεβινθίνης, οὐγγ αʹ· τήξας ταῦτα πάντα καλῶς, δεῦσον μετὰ ᾠοῦ ἐρυθροῦ καὶ γάλακτος γυναικείου τὸ ἀρκοῦν καὶ δίδου ἐπὶ τῆς χρείας.

39 λθʹ Πεσσός, ἀνώδυνος καὶ θαυμαστός· ἔχει:

Κρόκου· ὀπίου, ἀνὰ ὁλκῆς ἥμισυ· ᾠῶν ὀπτᾶν, λεκίθης αʹ· κηροῦ Τυρρηναϊκοῦ, ὁλκὰς ηʹ· μυελοῦ ἐλαφείου, ὁλκὰς δʹ· ῥοδίνου ἐλαίου τὸ ἀρκοῦν· τὰ τηκτὰ τήξας, ἐπικατέρα, κατὰ τῶν λεκίθων, προλελειωμένων ἐν τῇ θυίᾳ καὶ ἀναμαλάξας καλῶς, χρῶ.

40 μʹ Πεσσός χαλαστικός, πρὸς φλεγμονήν· ἔχει:

Ὑσσώπου ὑγροῦ· στέατος χηνείου· μυελοῦ ἐλαφείου· νάρδου, ἀνὰ οὐγγ αʹ· κηροῦ καθαροῦ, οὐγγ αʹ καὶ ἥμισυ· τερεβινθίνης· βουτύρου· στέατος ταυρείου, ἀνὰ οὐγγ τέταρτον· ταῦτα πάντα τήξας καὶ σκευάσας καλῶς, δίδου ἐπὶ τῆς χρείας, πρωὶ καὶ ἑσπέρας.

---

**37, 1** λζʹ deest P ¦ λςʹ X ¦ ληʹ L | πάνυ – πείρας] ἐμμηνάγωγος X | ἡ σύνθεσις X **2** Λαβὼν om. X | στέαρ X ¦ ἀξούγγιον L **3** ἔμβαλε δὲ om. X L | καὶ² om. X | ταῦτα καλῶς om. X | γυναικὸς X **4** τοῦ ἀρκούντος L | τὸ – δίδου] καὶ ἔνθες X | post δίδου add. ἐπὶ τῆς χρείας L **37a, 1** κηʹ P ¦ λζʹ X | post συλληπτικὸς add. ἄλλος P διὰ πείρας om. X | δόκιμος om. P | ἔχει om. X **2** post λαγωοῦ add. ὅσον P | μετὰ – ᾠοῦ post ὀλμοκοπήσας L | τοῦ¹] om. X | κιροῦ P **3** ὁμοῦ λειοτριβήσας, κέλευσον ἀναλαβὼν | καλῶς – αὐτοῦ om. X | ἐξ αὐτοῦ] τῇ βουλομένῃ γυναικὶ, συλλαβεῖν L | πρόχρισον X προχρῖσαι L | post μήτραν add. συλλήψεται L | post ἕως add. οὗ X | ἕως – 4 πλησιάσαι om. L **4** ἡ μὲν P ¦ εἰ X | ἐστὶν om. X **5** ἡ P ¦ εἰ X L | θηλείας add. καὶ L | post θῆλυ add. συλλήψεται· σκευάσας οὖν L | χρῶ om. P X **38, 1** ληʹ] λθʹ L | ἡ σύνθεσις X **2** post Πομφόλυγος add. ψιμύθιν· καδμίας, ἀνὰ ἐξάγ δʹ καὶ ἥμισυ· μέλανος P X L | Ἰνδικοῦ om. X | ἄρρενος om. X | τρακταίου om. X **3** τήξας – 4 καλῶς] τρίψας X | τήξας – 5 χρείας] χρῶ. P **4** ἐρυθροῦ τοῦ ᾠοῦ X | γυναικὸς X | τοῦ ἀρκοῦντος L | τὸ – 5 χρείας om. X **5** ἐπὶ – χρείας om. L **39, 1** λθʹ] λʹ P ¦ μʹ L | post Πεσσός add. ὁ διὰ κρόκος X add. καθαρτικός L | καὶ θαυμαστός om. P | καλὸς X | ἡ σύνθεσις X **2** Κηροῦ P | post ἀνὰ add. οὐγγίας ἥμισυ ἢ P | ᾠοῦ ὀπτοῦ X | ὀπτῶν P L | post ὁλκὰς add. ςʹ· στέατος χηνείου, ὁλκὰς P L ¦ add. ςʹ στέατος χηνός, ὁλκὰς X **3** ἐλάφου X | ῥοδίνου ἐλαίου transp. P ¦ ῥοδελαίου X | post ἀρκοῦν add. τὸν λέκιθον τρίψας καὶ τὰ ἄλλα L | ἐπίχεε | ἕνωσον μετὰ X **4** τοῦ λεκίθου X L | προλελυμένων X | προλελειωμένων – θυίᾳ om. L ἀναμαλάξας – χρῶ] μάλαξον X | καλῶς om. P | δίδου χρῆσθαι L **40, 1** μʹ] λαʹ P ¦ μαʹ L | πρὸς φλεγμονήν] καὶ μαλακτικὸς φλεγμονῆς L | ἡ σύνθεσις X **2** χηνὸς X | ἐλάφου **3** καθαροῦ om. P X | ταύρου X | οὐγγ² – 4 τέταρτον] ἐξάγ αʹ καὶ ἥμισυ P **4** ταῦτα πάντα om. X | ταῦτα – 5 ἑσπέρας] χρῶ P | καλῶς – χρείας] ἔνθες X | ἐπὶ – χρείας om. L

μα΄ Πεσσός, πρὸς ῥῆξιν καὶ τραχώματα καὶ ὕδατος ἐπιφοράν, πάνυ ἀναγκαῖον· ἔχει: 41

Πομφόλυγος· ψιμύθιν, ταῦτα πεπλυμένα· μολύβδου κεκαυμένου καὶ πεπλυμένου· καδμείας· λιθαργύρου πεπλυμένων, ἀνὰ οὐγγ ἥμισυ· ἐλαίου μυρσινάτου, οὐγγ α΄ καὶ ἥμισυ· λειώσας ταῦτα ἐπιμελῶς καὶ λύσας τὸν κηρὸν μετὰ τοῦ στέατος, δεῦσον πάντα ὁμοῦ καὶ σκευάσας καλῶς, δίδου ἐπὶ τῆς χρείας· χρῶ.

μβ΄ Πεσσός, πρὸς αἱμορροοῦσαν μήτραν· ἔχει: 42

Ἀκακίας, οὐγγ ἥμισυ· στυπτηρίας σχιστῆς, οὐγγ τέταρτον· χυλὸν ὑποκιστίδος· ἀκάνθης Αἰγυπτίας· κηκίδιν· κυτίνων ῥοᾶς· συμφύτου· οἰνάνθης ξηρᾶς, ἀνὰ οὐγγ α΄ καὶ ἥμισυ· ἀλόης ξανθῆς, οὐγγ β΄· κηροῦ καθαροῦ, οὐγγ γ΄· τήξας ταῦτα πάντα καλῶς, δεῦσον μετ᾽ ἐλαίου ῥοδίνου ἢ μυρσινίνου, τὸ ἀρκοῦν καὶ σκευάσας δίδου ἐπὶ τῆς χρείας.

μγ΄ Πεσσός, πρὸς ῥοῦν γυναικός, πάνυ δόκιμον· ἔχει: 43

λαβὼν ἐλελίσφακον κηπευτόν· κόπτε λεπίδος, δίδου ἐπ᾽ ἀνθράκων· ἄνωθεν καὶ ἄχλυζε ὑπὸ κάτωθεν αὐτήν· δίδου δὲ καὶ ἐξ αὐτοῦ τοῦ ζωμοῦ, οὐγγ ἥμισυ· Ἀρμένιον βῶλον, δράμ α΄ καὶ οἴνου ἐρυθροῦ, κύλικα μικρὸν α΄· ταῦτα πάντα, δεύσας ὁμοῦ καὶ χλιάνας, δίδου πιεῖν νήστις· δίδου δὲ οὕτως ἐπὶ τῆς χρείας, ἕως ἡμέρας ἑπτὰ καὶ οὕτως, χρῶ.

μδ΄ Πεσσός, συλληπτικός, ἀπαράβατος· ἔχει: 44

Λαβὼν χολὴν ὑὸς κάπρου, παντελῶς μαύρου· ἐπιβαλὼν εἰς αὐτήν, ἔριον καθαρὸν καὶ ἐπίθες, ἐπὶ τὸ στόμα τῆς μήτρας· ἕως ἡμέρας ἑπτά, πρωὶ καὶ ἑσπέρας· ἔστω δὲ ἡ γυνή, προκεκαθαρμένη τῶν καταμηνίων αὐτῆς· εἶτα, δίδου καὶ καθ᾽ ἥν ἡμέραν, πρωὶ νῆστις, πιεῖν τρυφέρα μάννα, οὐγγ ἥμισυ· μετὰ ἀποβράσματος ἀλισφακίου καὶ ὕδατος τῶν Ἁγίων Θεοφανίων καὶ οἴνου τὸ ἀρκοῦν· χλιαρὰ ἕως ἡμέρας ζ΄· μετὰ δὲ τοῦτο, λαβὼν

---

**41, 1** μα΄] λβ΄ P | πάνυ ἀναγκαῖον om. P X | ἡ σύνθεσις X **2** post Πομφόλυγος add. πεπλυμένου P ψιμυθίου L | ταῦτα om. P L | ταῦτα πεπλυμένα om. X | πεπλυμένου P ¦ πεπλυμένων L | καὶ πεπλυμένου om. X **3** post καδμείας add. πεπλυμένης P | post λιθαργύρου add. πάντων X | πεπλυμένου P ¦ add. κηροῦ X μυρσινελαίου add. στέατος χηνός X **4** post ἥμισυ add. στέατος χηνίου, οὐγγ α΄· κηροῦ Τυρρηναϊκοῦ, οὐγγ ἥμισυ P X L | λειώσας – 5 χρῶ] τρίψας καὶ τήξας τὰ τηκτά, ἕνωσον X | ταῦτα om. P | δεῦσον – 5 χρῶ] ἀναλάμβανε καὶ χρῶ ὡς δόκιμον P **5** χρῶ om. L **42, 1** post μήτραν add. ὠφέλιμος L | ἡ σύνθεσις X **2** χυλοῦ P L ¦ om. X **3** ἀκάνθου L | κηκῖδος L | α΄ καὶ om. P **4** ξανθῆς om. P X | β΄] α΄ P | καθαροῦ om. P ¦ om. X τρίψας L | τήξας – καλῶς] τρίψας, τῆξας X | τήξας – 5 μετ᾽ om. P **5** μετὰ ῥοδελαίου X | post ἐλαίου add. πηγανίνου οὐγγ δ΄καὶ ἥμισυ ἢ δὲ βούλει ἀντὶ τοῦ πηγανίνου ἐλαίου, ἔμβαλλε P | post ῥοδίνου add. ἔλαιον P μυρσινελαίου X | τοῦ ἀρκοῦντος L | καὶ ἀνελόμενον χρῶ P | καὶ – χρείας om. X | post σκευάσας add. καὶ μαλάξας πάντα ἀρκοῦντος L | χρείας postea spatium 6 linearum vacuum relinquit et novum capitulum Ἔτι τοῦ π΄ στοιχείου περὶ Προπόματος κονδίτου σκευασία incipit P **43, 1** μγ΄ deest P | post πρὸς add. τὸ στῆσαι X γυναικεῖον L | πάνυ – ἔχει om. X **2** λαβὼν om. X | κόψας, θὲς X ¦ θὲς L | ἄνωθεν om. X | τοῦτο δὲ ὑποθεὶς τῇ γυναικὶ L **3** ἄχνιζε X | ὑπὸ κάτωθεν om. L | αὐτήν om. X | καὶ] αὐτῇ καὶ ταῦτα πίνειν χλιαρὰ πρωὶ νῆστις ἤγουν ἀπὸ L | post ζωμοῦ add. τοῦ ἐλελισφάκου L | post ἥμισυ add. πίνειν πρωὶ μετὰ X | Ἀρμενίου βώλου L **4** μικρὰν L | ταῦτα – 5 ἕως] χλιαρὸν X | ἑνώσας L **5** χλιάνας – οὕτως[1]] χλίαινε καθ᾽ ἑκάστην ἡμέραν, L | ἐπὶ L | καὶ – 6 χρῶ om. X L **44, 1** μδ΄ deest P | ἔχει om. X **2** ὁλοτελῶς μέλανος L | βάψον X L | ῥυπαρὸν X **3** τίθει L | κατὰ X ¦ εἰς L | ζ΄ X **4** κεκαθαρμένη L | αὐτῆς om. X | εἶτα om. L | post δίδου add. δὲ αὐτῇ L καθ᾽ ἑκάστην X | ἑκάστην L | νῆστις om. X **5** πίνειν X L | μεγάλη τρυφέρα X | ἐλελισφάκου X **6** τοῦ ἀρκοῦντος L | χλιαρῶν L | ἑπτὰ L | ταῦτα X | λαβὼν – 7 μάννα om. X

τρυφερὰ μάννα, προάλειψον τὸ στόμα τῆς μήτρας καὶ οὕτως, συνουσιαζέτω, μετὰ τοῦ ἀνδρὸς αὐτῆς καὶ εὐθέως συλλήψεται, χάριτι τοῦ Χ<ριστο>ῦ.

45 με΄ Προπόματος κονδίτου σκευασία· ἔχει:

Πεπέρεως κοινοῦ, οὐγγ ἥμισυ· μαστίχης, γράμμα α΄ καὶ ἥμισυ· τρίψας ταῦτα καλῶς, δεῦσον μετὰ μέλιτος Ἀττικοῦ, λίτρας α΄ καὶ ἥμισυ καὶ οἴνου καλοῦ, λίτρας κβ΄ καὶ ἥμισυ καὶ σκευάσας ταῦτα καλῶς, δίδου.

46 μς΄ Πρόπομα ἀψινθᾶτον, θαυμαστόν· δέχεται:

Μελίλωτον, οὐγγ α΄· καρποῦ βαλσάμου· νάρδου Κελτικῆς, ἀνὰ οὐγγ α΄ καὶ ἥμισυ· σχοίνου ἄνθος, οὐγγ ἥμισυ καὶ τέταρτον· κασίας, οὐγγ τέταρτον· μαστίχην, οὐγγ ἥμισυ· ῥόδων ξηρῶν, οὐγγ α΄· ἀρώματος, οὐγγ α΄ καὶ ἥμισυ· τρίψας ταῦτα καλῶς, δεῦσον μετὰ μέλιτος Ἀττικοῦ, λίτρας δ΄ καὶ ἥμισυ καὶ οἴνου καλοῦ, λίτρων κβ΄ καὶ ἥμισυ καὶ σκευάσας καλῶς, δίδου ἐπὶ τῆς χρείας.

47 μζ΄ Πρόπομα, ἀνισᾶτον, πάνυ καλόν· ἔχει:

Ἀνίσου, οὐγγ α΄ καὶ ἥμισυ· μαστίχης, γράμματα γ΄· κόστου, γράμματα β΄· φύλλου· καρεοφύλλου, ἀνὰ γράμματα α΄ καὶ ἥμισυ· τρίψας ταῦτα πάντα καλῶς δεῦσον μετὰ μέλιτος Ἀττικοῦ, λίτρων β΄ καὶ τέταρτον καὶ οἴνου καλοῦ, λίτρων κβ΄ καὶ ἥμισυ καὶ σκευάσας ταῦτα καλῶς, δίδου ἐπὶ τῆς χρείας· χρῶ.

48 μη΄ Πρόπομα γληχωνάτον, δόκιμον πάνυ· ἔχει:

Γλήχωνος λεπτοτάτου, οὐγγ α΄ καὶ ἥμισυ· μαστίχην· καρεοφύλλου, ἀνὰ γράμματα α΄ καὶ ἥμισυ· τρίψας ταῦτα καλῶς, δεῦσον μετὰ μέλιτος Ἀττικοῦ, λίτρων β΄ καὶ τέταρτον καὶ οἴνου καλοῦ, ξεστία ζ΄ καὶ ἥμισυ· ἤτοι λίτρας ια΄ καὶ τέταρτον καὶ σκευάσας καλῶς.

---

**7** καὶ οὕτως] ἐκ τῆς μεγάλης τρυφερᾶς X | συνουσίαζε X | μετὰ – 8 Χριστοῦ om. X **8** Θεοῦ L **45, 1** με΄] α΄ novum capitulum περὶ Προπόματος P ¦ μς΄ L | ἡ σύνθεσις X **2** κοινοῦ om. P X | τρίψας – 3 μετὰ om. P ταῦτα – 3 δεῦσον] ἑνώσας X | λεπτῶς L **3** post μέλιτος add. καλοῦ ἀπαφρισμένου P | Ἀττικοῦ om. X λίτρας[1] – ἥμισυ[1]] ξέστιον ἕν P | λίτρας[2] – ἥμισυ[2]] ξεστία ιε΄ P **4** καὶ – δίδου om. X | ταῦτα – δίδου] χρῶ P post δίδου add. τοῖς χρῄζουσιν L **46, 1** μς΄] β΄ in περὶ Προπόματος P | Προπόματος ἀψινθάτου L θαυμαστόν om. P ¦ σκευασία X | ἔχει P L ¦ ἡ σύνθεσιςX **2** Μελιλώτου P X L | καρποβαλσάμου X **3** σχοινάνθης X ¦ transp. L | οὐγγ[1] – τέταρτον[1]] ἐξάγ δ΄ καὶ ἥμισυ P | κασίας – ἥμισυ[2] om. L | οὐγγ τέταρτον] ἐξάγ α΄ καὶ ἥμισυ P **4** om. X | om. P | om. X | ἕνωσον X **5** μέλιτος – ἥμισυ[2] post α΄[1] 4 P Ἀττικοῦ om. P X | λίτρας – ἥμισυ[1]] ξέστας γ΄ P | καλοῦ om. P | λίτρων – ἥμισυ[2]] ξέστας ιβ΄ P | post καὶ[4] add. οὕτω L | καὶ[4] – 6 χρείας om. X **6** καλῶς om. P | ἐπὶ – χρείας om. P **47, 1** μζ΄] γ΄ in περὶ Προπόματος P | Προπόματος add. σκευασία τοῦ διὰ ἀνίσου L | πάνυ καλόν om. P ¦ σκευάσας X | ἡ σύνθεσις X **3** καρυοφύλλου X | τρίψας – μετὰ om. P | ταῦτα – καλῶς om. X | δεῦσον ἕνωσον X **4** Ἀττικοῦ om. P X λίτρων[1] – τέταρτον] ξέστιον α΄ καὶ ἥμισυ P | καλοῦ om. P X | λίτρων[2] – ἥμισυ] ξεστία ιε΄ P | post καὶ[4] add. οὕτω L | καὶ[4] – 5 χρῶ om. X **5** σκευάσας – χρῶ] χρῶ ὡς δόκιμον P | χρῶ om. L **48, 1** μη΄] δ΄ capitulum περὶ Προπόματος P | δόκιμον πάνυ] σκευασία X | ἡ σύνθεσις X **2** καρυοφύλλου X **3** τρίψας – μετὰ om. P ταῦτα καλῶς om. X | ἕνωσον X | Ἀττικοῦ om. P X | λίτρων – τέταρτον] ξέστην α΄ καὶ ἥμισυ P **4** καλοῦ ¦ om. X | ξεστίων L | ἤτοι – καλῶς om. P | ια΄] α΄ X | καὶ[4] – καλῶς om. X | post καλῶς add. χρῶ L

μθ΄ Πρόπομα, στυρακᾶτον, πάνυ ἐπαινετόν· ἔχει: 49

Στύρακος, οὐγγ α΄ καὶ ἥμισυ· μέλιτος Ἀττικοῦ, λίτρας δ΄ καὶ ἥμισυ· οἴνου καλοῦ, λίτρας β΄ καὶ τέταρτον· τὸν στύρακα κόψας ἐπιμελῶς ἕως λυθῇ· ἔπειτα κατ᾽ ὀλίγον, σμίγε τῷ μέλιτι, ἕως οὗ ἑνωθοῦν καὶ συνάξας, εἰς τροῦλλον, θέρμαινε ἐπ᾽ ἀνθράκων ἵνα καλῶς σμίγουν· ἔπειτα σμήξας σὺν ὀλίγῳ, τὸ πᾶν μέλιτι ἀπαφρισμένον ἐν θυίᾳ καὶ τρῖβε εὐτόνως καὶ σμήξας τὸν οἶνον καὶ συνάξας καλῶς καὶ σκευάσας, δίδου ἐξ αὐτοῦ ἐπὶ τῆς χρείας· χρῶ.

ν΄ Πρόπομα, ῥοσάτον· πάνυ θαυμαστόν· ἔχει: 50

Ῥόδων ἐξωνυχισμένων καὶ ὑπομαρανθέντων λίτρας ἥμισυ· οἴνου καλοῦ, λίτρας ζ΄ καὶ ἥμισυ· μέλιτος Ἀττικοῦ, λίτραν α΄ καὶ ἥμισυ· πέμπε δὲ πρῶτον τὰ ῥόδα εἰς τὸν οἶνον καὶ ἐφ᾽ ἑκάστης, σάλευε δεύτερον τῆς ἡμέρας· ἕως ἡμέρας ιε΄ καὶ λοιπὸν διηθήσας καὶ ἀποθλίψας τὰ ῥόδα ἐπὶ πολὺ· εἶθ᾽ οὕτως, ἔμβαλε τὸ μέλι καὶ σκευάσας καλῶς, δίδου ἐπὶ τῆς χρείας.

να΄ Πρόπομα, ἀψινθᾶτον, πάνυ δόκιμον· ἔχει: 51

Ναρδοστάχυος· ἀμώμου· κασάμου· μαστίχην, ἀνὰ οὐγγ ἥμισυ· κασίας, οὐγγ τέταρτον· ῥόδων ξηρῶν, οὐγγ β΄· καρεοφύλλου, οὐγγ τέταρτον· Κελτικῆς, οὐγγ ἥμισυ· σχοίνου ἄνθος, οὐγγ ε΄· ἀρώματος, οὐγγ α΄ καὶ ἥμισυ· τρίψας ταῦτα πάντα καλῶς, δεῦσον μετὰ μέλιτος Ἀττικοῦ, λίτρων ζ΄ καὶ ἥμισυ καὶ οἴνου καλοῦ, λίτρων κβ΄ καὶ ἥμισυ καὶ σκευάσας καλῶς, δίδου.

νβ΄ Πρόπομα ἀπιδᾶτον, θαυμαστόν· ἔχει: 52

Ἀπίδια ὥριμα κεκαθαρμένα, κ΄· μαστίχην, οὐγγ τέταρτον· ἀνίσου, γράμματα δ΄· πετροσελίνου, γράμματος ἥμισυ· σελίνου σπέρμα καὶ πηγάνου· πεπέρεως κοινοῦ, ἀνὰ γράμματα γ΄· μέλιτος Ἀττικοῦ, λίτρας ἥμισυ καὶ τέταρτον· οἴνου καλοῦ, λίτρ γ΄ καὶ

---

**49, 1** μθ΄] ε΄ in περὶ Προπόματος P | πάνυ ἐπαινετόν om. P ¦ σκευασία X | ἡ σύνθεσις X **2** Ἀττικοῦ om. P X καλοῦ om. P X **3** λίτρας – τέταρτον] ξέστην α΄ καὶ ἥμισυ P | κόψον X | post ἐπιμελῶς add. ἐν ὁλμῷ P | post ἕως add. οὗ X L | εἶτα X **4** μίσγε L | τὸ μέλι X ¦ αὐτῷ τὸ μέλι L | ἕως – καὶ] μέχρι ἂν ἑνωθῶσι καλῶς· εἶτα L ἕως – 5 ἀπαφρισμένον om. P | ἑνωθῶσι X | τρούλιον L | post ἀνθράκων add. χλίαινε L **5** ἑνωθῶσι X ¦ μιγῶσι L | καὶ τότε | μίξας X | κατ᾽ ὀλίγον L | μέλι X | ἀπηφρισμένον X ¦ add. καὶ βαλὼν L | ἐν – τρῖβε transp. X **6** εἶτα μῖξον X | καὶ[2] – 7 χρῶ om. X | καλῶς – 7 χρῶ] ἀπόθου P **7** χρῶ om. L **50, 1** πάνυ θαυμαστόν om. P | πάνυ – ἔχει] σκευάσας X **2** καλοῦ om. X | λίτρας[2] – 3 ἥμισυ[1]] ξέστας ε΄ P **3** Ἀττικοῦ om. P X | λίτραν – ἥμισυ[2]] ξέστας ε΄ ἢ α΄ P | θὲς X ¦ βάλε L | πρότερον P **4** καθ᾽ X | ἐφ᾽ ἑκάστης om. L σάλευε δεύτερον] κίνει δὶς X | αὐτὰ δὶς L | εἶτα X L **5** ἐπὶ[1] – ἔμβαλε] πρόσθες X | μετὰ ταῦτα L | ἔμβαλε om. P | καὶ – 6 χρείας] μίσγε καὶ ἀπότιθε P ¦ om. X | δίδου – 6 χρείας] χρῶ L **51, 1** να΄] ζ΄ in περὶ Προπόματος P | ἄλλον P ¦ σκευασία X | ἡ σύνθεσις X **2** κασίας P | post ἀνὰ add. ἀνὰ ἐξάγ α΄ καὶ ἥμισυ φύλλου κόστου ἀψινθίας, ἀνὰ P X L | οὐγγ[2] – 3 τέταρτον[1]] ἐξάγ α΄ καὶ ἥμισυ P **3** post β΄ add. μέλιτος οὐγγ β΄ καὶ ἥμισυ P | γαρεόφαλα P ¦ καρυοφύλλου X | οὐγγ τέταρτον] ἐξάγ α΄ καὶ ἥμισυ P **4** σχοίνανθος L | post οὐγγ[1] add. ἥμισυ ἢ P | τρίψας – 5 μετὰ om. P | ταῦτα πάντα transp. L | ταῦτα – 5 δεῦσον] ἕνωσον X **5** Ἀττικοῦ om. X | λίτρων[1] – ἥμισυ] ξέστας ιε΄ P | καὶ[2] – 6 δίδου om. P | καλοῦ om. X **6** καὶ – δίδου om. X **52, 1** νβ΄] η΄ P | θαυμαστόν om. P ¦ σκευασία X | ἡ σύνθεσις X **2** κεκαθαρμένα om. P | οὐγγ τέταρτον] ἐξαγ α΄ καὶ ἥμισυ P **3** σπέρματος σελίνου P L | σπόρου X | κοινοῦ om. P X **4** Ἀττικοῦ om. P X | λίτρας – τέταρτον] ξέστου ἥμισυ P | post τέταρτον add. μετὰ L | οἴνου – 5 τέταρτον om. X | καλοῦ om. P | λίτρ – 5 τέταρτον] ξέστας β΄ καὶ ἥμισυ P ¦ post οἴνου X

ἥμισυ καὶ τέταρτον· τὰ ἀπίδια μετὰ τοῦ οἴνου βρέχε πρότερον ἡμέρας βʹ· εἶτα ἐκθλίψας, ἔμβαλε τὰ λοιπὰ κεκομμένα καλῶς καὶ σκευάσας ταῦτα πάντα, δίδου.

53 νγʹ Πρόπομα ἀσαράτων, πάνυ ἐπαινετόν· ἔχει:

Ἀσάρου κεκομμένου καλῶς, οὐγγ αʹ καὶ ἥμισυ· μέλιτος Ἀττικοῦ, λίτρας δʹ καὶ ἥμισυ· οἴνου καλοῦ, λίτρας κβʹ καὶ ἥμισυ· ταῦτα πάντα σκευάσας καλῶς, δίδου ἐπὶ τῆς χρείας.

54 νδʹ Πρόπομα, τὸ διὰ ἀμυγδάλων· ὠφελεῖ, πρὸς ἐμπυικοῖς καὶ θωρακικοῖς· δόκιμον· ἔχει:

Ἀμύγδαλα κεκαθαρμένα, οὐγγ γʹ· κόψας, δεῦσον μετὰ μέλιτος Ἀττικοῦ ἀπηφρισμένου, λίτρας δʹ καὶ ἥμισυ· οἴνου καλοῦ, λίτρας κβʹ καὶ ἥμισυ· ταῦτα πάντα σκευάσας καλῶς, δίδου ἐπὶ τῆς χρείας· χρῶ.

55 νεʹ Πρόπομα, φλεγμαγωγόν· καθαῖρον τὸ φλέγμα ἐκ τὸν στόμαχον καὶ τοὺς ὀψίας πάνυ καλόν· ἔχει:

Ἴρεως Ἰλλυρικῆς· ξηρίου, ἀνὰ οὐγγ ἥμισυ· τρίψας καλῶς, δεῦσον μετ᾽ οἴνου, λίτρας γʹ καὶ ἥμισυ καὶ τέταρτον καὶ μέλιτος Ἀττικοῦ, λίτρας ἥμισυ καὶ τέταρτον καὶ σκευάσας καλῶς, δίδου ἐπὶ τῆς χρείας· πρωὶ νήστις· χλιαρόν, κύλικα αʹ· χρῶ.

56 νςʹ Πρόπομα κιτράτον, πάνυ δόκιμον· ἔχει:

Κίτρων φλοιοῦ, λίτραν αʹ· μέλιτος καλοῦ Ἀττικοῦ, λίτραν αʹ καὶ ἥμισυ· οἴνου λευκοῦ καλοῦ, λίτρας ζʹ καὶ ἥμισυ· βρέχε τὰ κίτρα κεκομμένα, εἰς τὸν οἶνον· κόμμεως μʹ· καὶ διηθήσας, σμίγε τῷ μέλιτι καὶ σκευάσας καλῶς, χρῶ.

---

**5** πρόβρεχε εἰς τὸ οἶνον X | post πρότερον add. ἐπὶ P **6** post κεκομμένα add. ὄντα L | κεκομμένα καλῶς om. P | κεκομμένα – δίδου] χνοώδη X | post καὶ add. οὕτω L | ταῦτα πάντα om. P ¦ καλῶς L | post δίδου add. ἐπὶ τῆς χρείας L **53, 1** νγʹ] θʹ P ¦ νεʹ X | πάνυ ἐπαινετόν om. P | πάνυ – ἔχει] σκευάσας X **2** κεκομμένου καλῶς om. P | καλῶς om. X | Ἀττικοῦ om. P X | λίτρας – ἥμισυ[2]] ξέστας γʹ P **3** καλοῦ om. P X | λίτρας – ἥμισυ] ξέστας ιεʹ P | ταῦτα πάντα om. P | ταῦτα – χρείας om. X | καλῶς – χρείας] χρῶ P **54, 1** νδʹ] ιʹ P ¦ νγʹ X | ἀμυγδάλατον P | ὠφελεῖ om. X ¦ ὠφελοῦν L | ὠφελεῖ – δόκιμον om. P | πρὸς om. L | ἐμπυικοὺς X καὶ – 2 ἔχει om. X | δόκιμον om. L **3** Ἀμυγδάλων κεκαθαρμένων L | κόψας – μετὰ om. P | Ἀττικοῦ om. P X **4** ἀπαφρισμένου L | λίτρας[1] – ἥμισυ[1]] ξέστας τρία P | καλοῦ om. X | καλοῦ – ἥμισυ[2]] ξέστας ιεʹ P | ταῦτα πάντα om. P | ταῦτα – 5 χρῶ om. X | πάντα om. L **5** καλῶς – χρῶ] χρῶ· τοῦτο ποιεῖ θωρακικοῖς καὶ ἐμπυϊκοῖς P | χρῶ om. L **55, 1** νεʹ] ιαʹ P ¦ νδʹ X | φλέγμα L | φλεγμαγωγόν καθαῖρον transp. L | καθαῖρον – 2 καλόν in finem praecepti P | φλέγμα – τὸν om. X | ἀπὸ τοῦ στομάχου L | καὶ – 2 ἔχει om. X | τῶν ψοιῶν L **3** Ἰλλυρικῆς – ἀνὰ om. X | τρίψας – μετ᾽ om. P | καλῶς om. X | λίτρας – 4 τέταρτον[1]] ξέστας βʹ καὶ ἥμισυ P **4** καὶ[3] om. X | Ἀττικοῦ om. P X | λίτρας – τέταρτον[2]] ξέστου ἥμισυ P | καὶ[5] – 5 καλῶς om. P | καὶ[5] – 5 χρείας] ἡ δόσις X **5** ἐπὶ – νήστις om. P | πρωὶ – χρῶ om. L | νήστις om. X | κοχλιάριον δʹ X | χλιαρόν – αʹ transp. P | χρῶ om. P X **56, 1** νςʹ] ιβʹ P | πάνυ δόκιμον om. P | πάνυ – ἔχει] σκευάσας X **2** καλοῦ Ἀττικοῦ om. X | Ἀττικοῦ om. P | λίτραν[2] – ἥμισυ] ἑξαγ αʹ P | λευκοῦ om. P | λευκοῦ – 3 καλοῦ transp. L **3** καλοῦ om. X | λίτρας – ἥμισυ] ξέστας εʹ P | κόψας L | τὸν φλοιὸν X | κίτρα κεκομμένα] λεπτὰ P κεκομμένα] καλῶς βάλε L | ἐν τῷ οἴνῳ L | κόμμεως] ἡμέρας P X ¦ καὶ βρέχε ἡμέρας L | καὶ[2]] εἶτα L | καὶ[2] – 4 διηθήσας] εἶτα σακελίσας X **4** διήσας γοῦν ὕστερον P | μίσγε P ¦ μῖξον L | μίσγε τὸ μέλι X | μετὰ τοῦ μέλιτος L | καὶ – χρῶ om. X | σκευάσας καλῶς om. P | καλῶς χρῶ] δίδου L | χρῶ in margine add. praeceptum Πόμα ἐμμήν κενωτικὸν ἕως βω οὔσων φθόριων: Δαύκου σπέρμα· πηγάνου· μελάνθου· ἀδιάντου· σπονδήλιον, ἤγουν ἑξαγ αʹ καὶ ἥμισυ· ἐν ὕδατι βράσον· ἕως ἀποτριτώσεως καὶ λαβὼν ἐξ αὐτοῦ δίδου πιεῖν νῆστις· ἐπὶ ἡμέρας εʹ· ὡς δόκιμος. P

νζʹ Πρόπομα, πολυποδίτου σκευασία· πρός μελαγχολικούς· ἔστι δέ, ὑπακτικὸν γαστρός· ἔχει: 57

Πολυποδίου ῥίζης καθαροῦ, οὐγγ γʹ· πρόβρεχε ἐν οἴνῳ ἡμέραν αʹ· εἶτα κόψας καλῶς, ἔμβαλε σὺν αὐτῷ, ἐπιθύμου καθαροῦ, οὐγγ αʹ· πεπέρεως κοινοῦ, οὐγγ ἥμισυ καὶ τρίψας καλῶς, δεῦσον μετὰ μέλιτος καλοῦ ἀπαφρισμένου, λίτρας δʹ καὶ οἴνου καλοῦ, λίτρας ζʹ καὶ ἥμισυ καὶ σκευάσας καλῶς· δίδου ἐπὶ τῆς χρείας, κύλικα αʹ· χλιαρόν, νῆστις φυλαττόμενος δέ, ὁ μέλλων λαμβάνειν, ψυχρότατα.

νηʹ Πρόπομα πολυποδίτου, ἄλλη σκευασία, ὡς τὸ πρό τούτου· ἔστι δέ, ὑπακτικὸν γαστρός· ἔχει: 58

Γλεύκους ζέοντος, λίτρας ιεʹ· πολυποδίου χλωροῦ καθαροῦ, λίτραν αʹ· σχισθέντος μετὰ μαχαιρίου καὶ ἔασον αὐτὸ ζέσαι καθ' ἑαυτοῦ, ἐπὶ ἡμέρας μʹ καὶ ἀποσειρώσας, ἀπόθου· ἵνα μὴ ἐπιπλέον πικρὸν γένηται· τινὲς δὲ καὶ ἑψοῦσιν αὐτὸ, ξηρόν· ἀποβρέχοντες πρότερον εἰς τὸν οἶνον καὶ σκευάσας καλῶς, δίδου ὡς τὸ πρὸ τούτου.

νθʹ Πρόπομα, καρπησιάτον καλούμενον κάλλιστον· ἔχει: 59

Καρπησίας, ξηρίου, οὐγγ αʹ· πρὸ μιᾶς ἡμέρας, ἐπιβρέχοντα εἰς τὸν οἶνον· εἶτα λαβὼν μέλιτος Ἀττικοῦ ἀπαφρισμένου λίτρας ςʹ· οἴνου καλοῦ, λίτρας κδʹ καὶ σκευάσας ταῦτα καλῶς εἰς σύστασιν, δίδου ἐπὶ τῆς χρείας ἐξ αὐτοῦ, πρωὶ νῆστις, ὅσον κύλικα αʹ, χλιαρόν· χρῶ.

ξʹ Πρόπομα ἀλοάτον· πρὸς ἡπατικοὺς καὶ στομαχικοὺς: 60

Ἀλόης ξανθῆς, γράμματα ιʹ· κόστου· μαστίχης, ἀνὰ γράμματα ςʹ· ἀψινθίας ποντικῆς, γράμματα βʹ· κόψας ταῦτα καλῶς, δεῦσον μετὰ μέλιτος Ἀττικοῦ, λίτρας αʹ καὶ ἥμισυ·

**57, 1** νζʹ] ιγʹ P | Προπόματος L | πολυποδάτου P | σκευασία om. X ¦ add. ὠφέλιμον L | σκευασία – δέ om. P | ἔστι δέ om. L **2** γαστρός ἔχει om. X **3** Πολυποδίου ῥίζης transp. L | ῥίζης καθαροῦ om. X | καθαροῦ om. P ¦ καθαρᾶς L | πρόβρεχε – 4 αὐτῷ om. P | εἰς οἶνον X | καλῶς – 4 αὐτῷ] πρόσθες X **4** καθαροῦ om. P X | κοινοῦ om. P X | καὶ om. X | καὶ – 5 μετὰ om. P **5** καλῶς om. X | μέλιτος – 6 ἥμισυ ante Πολυποδίου P | καλοῦ ἀπαφρισμένου om. X | καὶ om. X | καλοῦ[2] om. P X | λίτρας[2] – 6 ἥμισυ] ξέστας εʹ P **6** καὶ[2] – χρείας] τὸ πολυπόδιν, πρὸ μίας ἡμέρας ἐνυπόβρεχε τῷ οἴνῳ, ἡ δὲ δόσις P ¦ ἡ δόσις πρωὶ X | νῆστις om. P νῆστις – 7 ψυχρότατα om. X **7** δέ – λαμβάνειν om. P | μέλλων – ψυχρότατα] ὁ πιὼν αὐτὸ πᾶσαν ψύξιν L ψυχροῦ P **58, 1** νηʹ] ιδʹ P | Πρόπομα om. P ¦ add. ἕτερον X ¦ Προπόματος L | ἄλλη – δέ om. X | ὡς – δέ om. P L | ὑπακτικὸν – 2 γαστρός transp. P ¦ post σκευασία L **2** γαστρός ἔχει om. X **3** λίτρας ιεʹ] ξέστας ιʹ P καθαροῦ om. P X | λίτραν αʹ post μαχαιρίου P | σχίσας X ¦ σχίσον τοῦτο L **4** post καὶ[1] add. ὁμοίως βάλε εἰς τὸ γλεῦκος καὶ L | ἔασον αὐτὸ om. X | ἑαυτὸ X | ἐπὶ om. L | τεσσαράκοντα L | εἶτα σειρώσας L **5** πλέον X | καὶ om. X | ἑψοῦσιν αὐτὸ post ξηρόν L **6** καὶ – δίδου] ἡ δόσις X | καὶ – τούτου] ἔστι δὲ τοῦ μὲν πολυποδίου, ὅσον λίτρ αʹ· τοῦ δὲ οἴνου, ὅσον δέκα ξέστας εʹ καὶ δίδου P | post σκευάσας add. οὖν ὡς εἴρηται σοι L | post δίδου add. ἐπὶ τῆς χρείας L **59, 1** νθʹ] ιεʹ P | καλούμενον om. P | κάλλιστον ἔχει om. X **2** Καρπησίας ξηρίου transp. L | ξηρᾶς P ¦ ξηρὸν X | οὐγγ αʹ post οἶνον P | πρὸ – ἐπιβρέχοντα] πρόβρεχε X post ἐπιβρέχοντα add. ξηρᾶς P ¦ βρέχε L | εἶτα λαβὼν om. P | εἶτα – 3 ςʹ post κδʹ 3 X | εἶτα – 3 καλοῦ om. X | σακέλισον, πρόσθες X **3** Ἀττικοῦ om. P | λίτρας ςʹ] ξέστας δʹ ἐπὶ ὥρας, ἰωθέντα P | καλοῦ om. P λίτρας κδʹ] ξέστας ιςʹ P | post κδʹ add. δεῦσον ἐν αὐτοῖς καὶ ἑνώσας L | καὶ – 4 αὐτοῦ] ἡ δόσις X | καὶ – 5 χλιαρόν om. P | ταῦτα om. L **4** εἰς σύστασιν] ἀπόθου ἐν ἀγγείῳ L | δίδου post αὐτοῦ L | νῆστις ὅσον om. X **5** χλιαρόν χρῶ om. X | χρῶ om. L **60, 1** ξʹ] ιςʹ P | τὸ δι' ἀλόης, ὠφέλιμον L | πρὸς – στομαχικοὺς] στομαχικὸν καὶ ὑπακτικὸν γαστρός· ἔχει P | καὶ om. X | post στομαχικοὺς add. ἔχει L **2** ἡπάτιδος P ¦ om. X ποντικῆς om. X **3** τρίψας, ἑνώσας X | κόψας – μετὰ om. P | Ἀττικοῦ om. P X | λίτρας – ἥμισυ] ξέστην αʹ P

οἴνου καλοῦ, λίτρων ζʹ καὶ ἥμισυ καὶ σκευάσας καλῶς εἰς σύστασιν, δίδου ἐξ αὐτοῦ ἐπὶ τῆς χρείας νῆστις, κύλικα αʹ· ἔστι δὲ τὸ τοιοῦτον, μαλακτικὸν κοιλίας, πάνυ δόκιμον· χρῶ.

61 ξαʹ Πρόπομα ἀρωματικόν, ὅ σκευάσας ἐν Ἀλεξανδρείᾳ:

Κασίας· σχοίνου ἄνθος· Κελτικῆς, ἀνὰ οὐγγ ἥμισυ· ναρδοστάχυος· κασάμου· κόστου· ξυλοκαρεοφύλλου· ῥόδων ξηρῶν, ἀνὰ γράμματα ςʹ κόψας ταῦτα καλῶς, ἔμβαλε πάλιν σὺν αὐτῷ μελίλωτον, οὐγγ ἥμισυ· μαστίχης, ὁλκὴν αʹ λελειωμένα· εἶτα ἔμβαλε μέλιτος Ἀττικοῦ καθαροῦ, λίτρας θʹ· οἴνου καλοῦ, λίτρας μεʹ· ἕψε ταῦτα καλῶς, εἶθ’ οὕτως ἔμβρεχε εἰς γάρος καλόν, ποτηρίου ἥμισυ καὶ οὕτως σκευάσας, δίδου πρὸ μιᾶς ὥρας, τῆς ἐπισημασίας, ἐσθίειν τὰ σκόρδα καὶ ἐπιπίνειν τὸ γάρον· ἐχέτω δέοι, λελειωμένον πέπερι, κόκκους, ξʹ καὶ μενέτω νῆστις καὶ ἄγρυπνος ὁ μέλλων λαμβάνειν, ἕως οὗ διψήσει, ἐπὶ πολὺ καὶ εἶθ’ οὕτως λουσάσθω καὶ λαβέτω, τροφῆς καὶ ποτοῦ, ὅσα εἰσὶ τῶν θερμαινόντων· ἐκκρίνει γὰρ τὸ τοιοῦτον, χυμοὺς πλῆθος διὰ γαστρὸς καὶ δι’ ἐμέτου καὶ σὺν Θεῷ, ὑγιής ἐστὶν, ὁ λαμβάνων τοῦτο, ὡς δόκιμον· χρῶ.

62 ξβʹ Πρόπομα, πρὸς τεταρταίους διὰ πείρας· ἔχει:

Ἀσάρου, οὐγγ ἥμισυ· τρίψας καλῶς, μετὰ ἀκράτου, τὸ ἀπόζεμα αὐτοῦ πινέτω, πρωὶ νῆστις· ὁμοίως καὶ τὸ σένες καὶ τὸ ἐπίθυμον· μετὰ ἀκράτου τὸ ἀπόζεμα τούτων, πινέτω νῆστις χρῶ.

---

Λαβὼν θυίαν μολυβδαίνην· λείωσον ἐπιμελῶς, ὥστε ξηρίον γενέσθαι καὶ ἑψήσας ὠόν, ὥστε σκληρὸν γενέσθαι καὶ καθάρας τὸ ὀστρακῶδες αὐτοῦ· ῥῖψον τὸ δὲ ἔνδον αὐτοῦ τοῦ ὠοῦ, ὅ ἐστὶν μετὰ τοῦ λευκοῦ, ἐγκρύψας ἐπὶ ἀνθρακιάν καὶ ὄπτα ἐπὶ τοσοῦτον, ὥστε τὸ λευκὸν καυθῆναι ἅπαν· ἔπειτα λαβὼν τὸ ἐρυθρὸν αὐτοῦ, ἔμβαλε εἰς ὅλμον σὺν τῷ ψιμυθίῳ καὶ ῥοδίνῳ ἐλαίῳ τὸ ἀρκοῦν καὶ σὺν λειώσας πάντα ἐπιμελῶς, ὥστε γλοιῶδες γενέσθαι· εἶτα λαβὼν χαμαίμηλα καὶ ἕψε μεθ᾽ ὕδατος, εἰς ἀποτρίτωσιν καὶ ἐξ αὐτοῦ τοῦ ἀποζέματος, πυρίαζε μετὰ σπόγγου χλιαρῷ τὸν τόπον πλειστάκις· ἔπειτα ἐπίχριε, τὸ ἄνωθεν χρίσματι, μετὰ πτεροῦ καὶ οὕτως θεράπευε, δὶς τῆς ἡμέρας ἀπροΐτως, διατηρούμενος· χρῶ.

ριβ΄ Πρὸς ἐξοχάδας παρὰ τοῦ ποιμένος· διὰ πείρας· ἔχει: 112

Κολοκύνθης ξηρᾶς, ὀστράκου κεκαυμένου, κηκῖδος· ὀστρέων ὄστρακα κεκαυμένα, ἀνὰ οὐγγ α΄· τρίψας ταῦτα ὡς χνοῶδες καὶ βαλὼν πάντα εἰς ὕδωρ ἁρπακτόν· ὅ ἐστὶν

---

**110, 1** διὰ – ἔχει] διὰ συκῆς ἀγρίας X | θαυμαστόν om. P **2** Ἀγρίας συκῆς transp. X | συλλέξας om. X ξήρανον L | εἶτα X | καὶ om. X **3** ἀπόθου – ἀγγείῳ] ἔχε P | ἐν – ἀγγείῳ om. X | post χρείας add. δὲ λαβὼν εἰς ἴγδιν μολύβδινον σὺν δεδικὰ μολυβδίνῃ καὶ P | λαβὼν – αὐτοῦ om. X | ἐξ – σὺν om. P | αὐτῶν, ὅσον τῇ χρείᾳ δεῖ L | αὐτὸ μετ᾽ L | μυρσίνου ἐλαίου P ¦ μυρσινελαίῳ X ¦ μυρσίνου ἐλαίου L **4** τοῦ ἀρκοῦντος L | τὸ – καὶ$^{1}$ om. P | καὶ$^{1}$ – 5 πάντα om. X | ἐπὶ P ¦ ἀπὸ L | τῆς ἴγδεως P | post μολυβδαίνου add. ἢ χαλκοῦ L | ἐν ᾧ L | ἐνῶ – 5 τὶ] ἔχειν P **5** μέλλεις τρίψαι L | τινὰ ποιότητα L | ἱκανὸν P | post οὕτως add. καὶ οὕτως ἐπίβαλλε τὸ ξηρίον τῶν ὀλύνθων καὶ P | λειώσας L | πάντα om. P | ἂν om. X **6** σχεῖ P ¦ om. X | ἔχειν – εἰς] ἐλθῶσι, λαβὼν ῥάκος | ἐξ αὐτοῦ om. X | ἐξ – εἰς om. P | post ῥάκος add. καὶ ἐπιχρίσας αὐτὸ ἐξ αὐτοῦ L post ἐπίθες add. αὐτὸ L | καὶ$^{2}$ – 7 χρῶ om. P X L **111, 1** ρια΄ sine numero P | Πρὸς – δόκιμον] Ἄλλον διὰ πείρας θαυμαστὸν P | post ἐξοχάδας add. ἄλλο L | λίαν καλὸν X | πάνυ om. L **2** Λαβὼν om. X ¦ Βαλὼν L μολυβδαίναν εἰς θυίαν L | μολύβδαιναν X **3** καὶ om. L | περικαθάρας P ¦ καθαρίσας X ¦ κάθαρον L | ἔνδον – 4 ἐστὶν] ὠὸν ὅλμον P | ἔνδον – 4 τοῦ$^{2}$ om. X | αὐτοῦ$^{2}$ om. L **4** ὅ – ἐπὶ$^{1}$] ἤτοι τὸ λευκὸν μετὰ τοῦ ἐρυθροῦ· ἔμβαλε εἰς L | λευκὸν add. σὺν τῷ λεκύθῳ X | ἐγκρύψας] καὶ τοῦ ἐρυθροῦ ῥῖψον L | ἐπὶ$^{1}$] εἰς X | καὶ om. X ἑψήσον L | ἐπὶ$^{2}$ om. X | ἐπὶ$^{2}$ – ὥστε] ἕως οὗ L **5** καυθῇ L | ἅπαν om. P ¦ ὅλον L | εἶτα X | κηρὸν P περίπου P ¦ λείωσον X | post ὅλμον add. ἐπιμελῶς X | ψιμύθ<ῳ> P **6** ῥοδελαίῳ X | τῷ ἀρκοῦντι L αὔταρκες P | καὶ$^{2}$ – ὥστε] ὡς X | πάντα om. P | κηρῶδες P | γλοιῶδες – 7 γενέσθαι] ἐλθεῖν εἰς γλοιοῦ πάχος L **7** post γενέσθαι add. καὶ ὡς γλοιοῦ πάχος ποιήσας P ¦ om. X | post λαβὼν add. βοτάνην τῆς P ¦ βράσας X | τοῦ χαμαιμήλου P ¦ χαμαίμηλον X | καὶ ἕψε om. X | ἑψήσας L | σὺν ὕδατι P | μεθ᾽ – ἀποτρίτωσιν transp. X | post καὶ$^{2}$ add. λαμβάνων L | καὶ$^{2}$ – αὐτοῦ] ἐκ X | ἐξ αὐτοῦ om. P **8** ζωμοῦ L ἀναλαβὼν P | πυρίαζε – σπόγγου transp. L | ἀποπυρίαζε P ¦ χλιαροῦ X ¦ om. L | εὐτόνως P | καὶ τότε X διάχριε X ¦ add. αὐτὰς ἀπὸ L **9** ἄνωθεν om. P ¦ add. ῥηθέντος L | χρίσματι om. X ¦ χρίσματος L | καὶ – θεράπευε om. X | τοῦτο ποιῶν L | ἀπροΐτως – 10 χρῶ om. X **10** διαμένοντος τοῦ θεραπευομένου, θεραπεύσεις αὐτὸν L **112, 1** ριβ΄ sine numero P | Πρὸς ἐξοχάδας] Ἄλλον P | διὰ πείρας post ἐξοχάδας L διὰ – ἔχει om. X **2** ὀστρείων L | ὀστρέων – 3 α΄ om. X | ὄστρεα L | κεκαυμένα om. P **3** κόψας καὶ σήσας P | ταῦτα – χνοῶδες om. X ¦ καὶ ποιήσας χνοώδη L | βάλε ταῦτα L | τὸ πᾶν P ¦ om. X | ἁρπακτόν – ἐστὶν om. X L

ψυχρόν, λίτραν α´ καὶ ἥμισυ καὶ σκευάσας καλῶς, προσαντλείτω τὸν τόπον ἐξ αὐτοῦ συνεχῶς· ἐπὶ ἡμέρας γ´ καὶ ἀφανεῖς γίνονται, αἱ ἐξοχάδες· ἔστι γὰρ δόκιμον.

113 ριγ´ Πρὸς ἐσοχάδας καὶ ἐξοχάδας, ποτὸς θαυμαστός:

Φλόμου ῥίζαν στρουθίου τῆς ῥίζης, ἀνὰ οὐγγ α´· χρυσολουλούδων, ὁλκῆς ἥμισυ· χαμαιδάφνης τῆς ῥίζης, ἀσπαράγγου τῆς ῥίζης, ἀνὰ οὐγγ ἥμισυ· κυκλαμίνου τῆς ῥίζης· μαστίχης, ἀνὰ ὁλκῆς ἥμισυ· ἀειζώου· πίσσαν, ἀνὰ οὐγ ἥμισυ· πεπέρεως κοινοῦ· κόκκους, ιγ´ καὶ ἥμισυ· τρίψας ταῦτα καλῶς μετ᾽ οἴνου καλοῦ καὶ εὐώδους, λίτρ ἥμισυ· δεῦσον καὶ ἕψε εἰς ἀποτρίτωσιν καὶ λαβὼν ἐξ αὐτοῦ, δὸς πιεῖν τρίτον· πρωὶ νῆστις, σελήνης ληγούσης· τὴν δὲ ῥίζαν τοῦ φλόμου τρίψας ὡς χνοῶδες· εἰς ἐξοχάδας ἐπίπασσε καὶ πεσοῦνται·

113a Ὁμοίως· Λιθαργύρου, οὐγγ ἥμισυ· ὠοῦ τὸ κέλυφος, κεκαυμένον καὶ σεσεισμένον, οὐγγ α´· ὠοῦ τὸ ἐρυθρὸν α´· κρόκου, ὁλκὴν α´ καὶ ἥμισυ· κυνείας κόπρου λευκῆς, οὐγγ α´· τρίψας ταῦτα ὡς χνοῶδες, δεῦσον, σὺν ῥοδίνῳ ἐλαίῳ τὸ ἀρκοῦν καὶ σκευάσας ταῦτα καλῶς, ποίησον ὡς ἔμπλαστρον καὶ χρῶ.

114 ριδ´ Πρὸς ἐσοχάδας καὶ ἐξοχάδας, διὰ πείρας, ὥστε αὐτομάτως πεσεῖν· ἔχει:

Γῆρας ὄφεως· τεμὼν ἐξ αὐτοῦ, ὡς εἶδος μέγεθος νόμισμα καὶ βαλὼν αὐτὸ ἔνδον ἰσχάδων δὸς λάθρα φαγεῖν τῷ νοσοῦντι νῆστις καὶ μετὰ ὥρας γ´· θαυμάσεις τὴν τούτου δύναμιν.

---

**4** λίτραν – ἥμισυ] ξέστην α´ post ἁρπακτὸν P | μετὰ τὸ σκευάσαι οὕτω L | καὶ[2] – καλῶς om. P ¦ om. X ἄντλῃ P | αὐτὰς τὰς ἐξοχάδας L | ἐξ αὐτοῦ om. P X | post αὐτοῦ add. τοῦ χλιαροῦ ὕδατος L **5** ἐπὶ om. X τρεῖς L | ἀφανεῖς γίνονται transp. L | γενήσονται X | αἱ – δόκιμον] τοῦτον ποίει ὡς δόκιμον καὶ πεπειραμένον P ¦ om. X | δόκιμον] τοῦτο εἰς τὰ τοιαῦτα ὠφέλιμον L **113, 1** ριγ´] μβ´ P | ἔχει P ¦ ἡ σύνθεσις X ¦ add. ἔχει L **2** Φλόμου ῥίζαν transp. P | ῥίζης X L | τῆς om. X L | χρυσολούλουδου P **3** χαμαιδάφνης – ῥίζης[1] transp. L | τῆς[1] om. X L | ἀσπαράγγου – ῥίζης[2] transp. L | τῆς[2] om. X L | τῆς ῥίζης[2] om. P κυκλαμίνου – ῥίζης[3] transp. L | τῆς[3] om. X L **4** πίσσης L | κοινοῦ om. P X **5** ιγ´] ις´ P | τρίψας – καλῶς] δεῦσον X | τρίψας – μετ᾽ om. P | καλοῦ – εὐώδους om. X | καὶ εὐώδους om. P | δεῦσον om. X ¦ post καλῶς L | δεῦσον καὶ om. P **6** ἕψει X | λαβὼν – αὐτοῦ om. P X | δίδου P X ¦ add. τῷ πάσχοντι L | πίνειν X | πρωὶ om. X | πρωὶ νῆστις om. P | σελήνης – 7 ληγούσης transp. L **7** post τρίψας add. καὶ φρίξας P | ὡς χνοῶδες om. P ¦ χνοώδη X | χνοώδη L | τὰς L | εἰς – ἐπίπασσε transp. L **113a, 1** Ἄλλον δόκιμον ἔχει P | τὸ om. L **2** τὸ om. X L | τοῦ λευκοῦ, λεκίθην P | κυνὸς X | κυνείας κόπρου transp. L | κόπρου om. P **3** τρίψας – 4 καλῶς] ὁμοῦ πάντα λειώσας καὶ P | ταῦτα[1] – χνοῶδες om. X ¦ καὶ ποιήσας χνοώδη L | μετὰ L | ῥοδελαίῳ X ῥοδίνου ἐλαίου τοῦ ἀρκοῦντος L | σκευάσας – 4 ποίησον] ποιήσας X **4** ἐμπλσατρῶδες, ἐπίθες X | post χρῶ add. ὡς δόκιμον P ¦add. τίθει ἐπὶ τῶν ἐξοχάδων L **114, 1** Πρὸς – πεσεῖν] Ἄλλον ὥστε αὐτὸ μετᾶ πεσεῖν τὰς ἐξοχαδας , ἐστὶν γὰρ διὰ πείρας P | διὰ – ὥστε om. X | ὥστε] δόκιμον, εἰς τὸ ποιῆσαι αὐτὰς L | αὐτομάτως πεσεῖν transp. X | ἔχει om. X **2** post ὄφεως add. λαβὼν καὶ L | εἴδους L | εἶδος μέγεθος transp. L νομίσματος τὸ μέγεθος X | νομίσματος L | βάλε L | εἰς P **3** ἐσχάδων P ¦ ἰσχάδος X | post δὸς add. αὐτὰς τῷ ἔχοντι τὰς ἐξοχάδας L | λάθρα om. P | λάθρα φαγεῖν transp. L | τῷ νοσοῦντι om. P X | τῷ – νῆστις om. L τρεῖς X | θαυμάσεις – 4 δύναμιν] δόκιμον διὰ πείρας P | τὴν – 4 δύναμιν om. X **4** post δύναμιν add. καὶ ἐνέργειαν L

ριε´ Πρὸς ἀρχομένας διαθέσεις, πάνυ δόκιμον· ἔχει: 115

Ῥόαν τρίψας καὶ ἑψήσας μετ᾽ οἴνου αὐστηροῦ καὶ προσμίξας μέλιτος ὀλίγου, ἐπίθες ἐξ αὐτοῦ, μετὰ ἐρίου, ὡς πεσσόν· χρῶ.

ρις´ Πρὸς τὰ ἐν δακτύλοις πτερύγια, θαυμαστόν· ἔχει: 116

Λιβάνου καθαροῦ· στυπτηρίας σχιστῆς, ἀνὰ οὐγγ ἥμισυ· τρίψας ταῦτα καλῶς, δεῦσον μετὰ χολῆς ταύρου καὶ ὕδατος τὸ ἀρκοῦν καὶ ποιήσας ὡς ἔμπλαστρον, χρῶ.

ριζ´ Πρὸς ἐκβράσματα, πάνυ δόκιμον καὶ καλόν: 117

Λιθαργύρου· λιβάνου· στυπτηρίας σχιστῆς, ἀνὰ οὐγγ ἥμισυ· δεῦσον μετ᾽ ἐλαίου τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς· χρῶ.

ριη´ Πρὸς ἐκβράσματα ἐν στόματι τῶν παιδίων· ἔχει: 118

Σμύρνης· κηκίδιν ὀμφακίτιδος· ῥόδων ἄνθος, ἀνὰ οὐγγ ἥμισυ· τρίψας ὡς χνοῶδες· διάκλυζε πρότερον τὸ στόμα, μετ᾽ οἴνου παλαιοῦ· ὕστερον ἐπίπασσε, τὸ τοιοῦτον ξηρίον ἄνωθεν καὶ τοῦτο χρῶ, ἕως ὑγιαίνει.

ριθ´ Πρὸς ἐρυσιπέλατα, πάνυ δόκιμον· ἔχει: 119

Ῥάκος ἀπὸ ἐμμήνων γυναικείων· καύσας καὶ τὴν τέφραν λειώσας καὶ σὺν ὄξει δεύσας, ἐπίχριε μετὰ πτεροῦ·

---

**115, 1** ριε´] μγ´ P | πάνυ om. P | πάνυ – ἔχει] om. X | ἔχει om. L **2** τρίψας καὶ om. P | ἑψήσας post αὐστηροῦ P | post καὶ[2] add. λειώσας P | πρόσμιξον αὐτοῖς καὶ L | προσμίξας μέλιτος transp. P | ὀλίγον τι καὶ L | ἐξ – 3 αὐτοῦ om. P X ¦ αὐτὸ L **3** μετ᾽ X | χρῶ om. P X L **116, 1** ρις´] μδ´ P | θαυμαστόν om. P θαυμαστόν ἔχει om. X **2** καθαροῦ om. P X | τρίψας – δεῦσον om. P | ταῦτα καλῶς om. X **3** χολῆς ταύρου ante Λιβάνου P | ταυρείας L | καὶ[1] om. P | τοῦ ἀρκοῦντος L | τὸ – καὶ[2] om. P | ποίει X | ὡς ἐμπλαστρώδης ποιήσας P | χρῶ om. X ¦ ἐπιτίθει αὐτὸ ἄνωθεν L **117, 1** ριζ´] με´ P ¦ ριη´ X | πάνυ – καλόν] τὸ διὰ λιθαργύρου X | post καλόν add. ἔχει L **2** ἀνὰ – ἥμισυ] ἴσα P | δεῦσον om. P ¦ add. ταῦτα L | τοῦ ἀρκοῦντος L | τὸ – 3 καλῶς] λειώσας P **3** καλῶς χρῶ] δίδου L **118, 1** ριη´ sine numero P | post ἐν add. τῷ X L | post παιδίων add. δόκιμον P | ἡ σύνθεσις X **2** ζζ´´ post ὀμφακίτιδος P | κηκῖδος L | ῥόδων ἄνθος transp. L ἄνθους X | ἀνὰ – ἥμισυ] ἴσα P | ξηρίον ποιήσας, λεπτότατα P | ὡς χνοῶδες om. X ¦ ταῦτα καὶ ποιήσας χνοώδη L **3** διακλύσας P | πρῶτον L | καὶ X | ὕστερον om. P | ἐπίπαττε L | τὸ τοιοῦτον om. P ¦ τοῦτο τὸ L | τὸ[2] – 4 ὑγιαίνει om. X **4** ἄνωθεν om. P | τοῦτο χρῶ transp. L **119, 1** ριθ´] μς´ P | πάνυ δόκιμον om. P πάνυ – ἔχει om. X **2** γυναικῶν L | καὶ[2] – δεύσας om. P

119a ἢ νεοσσιὰν χελιδόνος ποιήσας ξηρίον καὶ ὀξυκράτῳ λειώσας, χρῶ, ὡς τὸ ἀνωτέρω· ἄλλασσε δὲ αὐτόν, δεύτερον καὶ τρίτον τῆς ἡμέρας· ἔστιν δέ, δόκιμον.

120 ρκʹ Πρὸς ἐρυσίπελα καὶ πάνυ πύρωμα καὶ τὸ καλούμενον ζωστῆρα πάθος, δυσίατον· ἔχει:

Λαβὼν ἀρνογλώσσου τῆς βοτάνης, λείου σὺν κριτῇ ἀργεντάρια καὶ ὕδατι ὀμβρίῳ καὶ ποιήσας ὡς γλοιῶδες πάχος, ἐπίχριε μετὰ πτεροῦ τοὺς τόπους· ἔστιν γὰρ θαυμαστόν.

121 ρκαʹ Πρὸς ἐρυσίπελα, κηρωτὴ θαυμαστή· ἔχει:

Λιθαργύρου, ὁλκὴν αʹ· ψιμύθιν· ἴρεως, ἀνὰ οὐγγ αʹ· ῥοδίνου, οὐγγ βʹ· ταῦτα πάντα δεῦσον, μετὰ στρύχνου χυλοῦ, οὐγγ βʹ καὶ ποιήσας ὡς γλοιῶδες πάχος, ἐπίχριε μετὰ πτεροῦ τοὺς τόπους.

121a Ὁμοίως· κύλικα παλαιόν· εὑρισκόμενον εἰς οἶκον ἢ εἰς κοπριάν, ἄρας καὶ θεὶς ἐπάνω ἀνθράκων, ἔασον τεφρωθῆναι· εἶτα λειώσας καλῶς, δεῦσον μετὰ ὄξους καὶ ἐπίχριε.

122 ρκβʹ Πρὸς ῥεῦμα ἀρχόμενον ποδῶν· δόκιμον· ἔχει:

Ὀρθρίσας εἰς αὐτὸ ὁ πάσχων καὶ ἀπελθὼν εἰς τὰ σελλία· εἴσελθε εἰς τὴν κοπριάν, γυμνοὺς τοῖς ποσὶν καὶ θερμανθέντων, τοῖς ποσὶν ἐπ' ὀλίγον· κἀκεῖθεν ἀπελθὼν παρὰ θάλασσαν ἐπὶ πολλὴν ὥραν, ἐν τῷ ὕδατι διαγαγέτω καὶ οὐκέτι ποδαλγήσει.

123 ρκγʹ Πρὸς ἐρυσιπέλας, αὐθωρὸν αἴρει· ἔχει:

Πηγάνου χλωροῦ· ἡδυόσμου χλωροῦ· θείου ἀπύρου, ἀνὰ οὐγγ ἥμισυ· τρίψας καλῶς, δεῦσον μετ' ὄξους τὸ ἀρκοῦν καὶ χρῶ·

---

**119a, 1** ἢ] Πρὸς ἐρυσιπέλατα καὶ ἕλκη, διὰ πείρας· ἔχει novum praeceptum, sine numero P | post χελιδόνος add. καύσας καὶ τρίψας καὶ L | καὶ – 2 αὐτόν] λείωσον σὺν ὀξυκράτῳ καὶ ἐπίχριε· ἄλειφε δὲ L | ὡς – ἀνωτέρω om. X **2** ἐπάλλασσε P | αὐτόν om. X | δὶς X | τρὶς X | ἔστιν – δόκιμον om. P X L **120, 1** ρκʹ] κʹ sine ρʹ X πᾶν P L | post καὶ[2] add. πρὸς X L | λεγόμενον L | πάθος post τὸ L | πάθος δυσίατον transp. P **2** ἔχει om. X **3** Λαβὼν om. X | λείε S | μετὰ L | ἀργενταρίων L | ὕδατος L | ὀμβρίμου L | καὶ[2] – 4 ποιήσας om. X **4** γλοιοῦ L | πάχος om. X | καὶ χρῖε X | πτερῷ P | τοὺς – θαυμαστόν om. P | ἔστιν – θαυμαστόν om. X L **121, 1** ρκαʹ sine numero P ¦ καʹ sine ρʹ X | θαυμαστή om. X | ἡ σύνθεσις X **2** ψιμυθίου L | post ῥοδίνου add. ἐλαίου L | ταῦτα πάντα] τρῖψον X | ταῦτα – 3 μετὰ[1] om. P | πάντα] ἑνώσας καὶ λειώσας L **3** στρύχνου χυλοῦ transp. L | οὐγγ] αʹ ἢ βʹ P | καὶ ποιήσας om. X | καὶ – 4 τόπους] χρῶ P | γλοιοῦ X L **121a, 1** Ὁμοίως novum praeceptum, sine numero P | κυλίκιον L | post εὑρισκόμενον add. ἢ P ἐρριμμένον L | θεὶς – 2 ἀνθράκων] καύσας X **2** ποίησον P ¦ ὥστε X | καὶ P ¦ om. X | καλῶς om. X ¦ add. τὴν τέφραν L | καλῶς – μετὰ om. P | ὄξει P | καὶ om. P **122, 1** ρκβʹ] μζʹ P sine numero X | Πρὸς – ἔχει om. X | ἀρχόμενον ποδῶν transp. L | δόκιμον om. P ¦ add. τοῦτο L | ἔχει om. L **2** εἰς αὐτὸ om. L | ἀπελθέτω L | εἰσελθέτω X ¦ ἐμβαλέτω L | εἰς[3] cancell. τὰ σελία X | εἰς[3] – κοπριάν post ποσὶν L **3** γυμνοῖς X | ποσὶν[1]] πόδας L θερμανθήτω X ¦ add. ἐν αὐτῇ L | θερμανθέντων – ἐπ'] ἔασον σὺν P | τοῖς ποσὶν[2]] τοὺς πόδας L | ἀπελθέτω ἐκεῖθεν L | εἰς L **4** post θάλασσαν add. κέλευσον διαγαγῆναι τοῖς ποσὶν ἐν τῇ θαλάσσῃ καὶ ἔα P ¦ add. ἐμβαλὼν ἐν αὐτῇ τοὺς πόδας L | ἐπί – ὥραν post διαγαγέτω L | ἐπί – διαγαγέτω] ἕως ὥρα ἱκανὴν καὶ εὐθὺς θεραπευθήσεται P | ὥραν om. X | ἐν – ὕδατι om. L | οὐκέτι ποδαλγήσει] οὕτω καταντλήσας τοὺς τόπους ἐξέρχεσθω καὶ οὐδὲποτε ποδαλγοῦσι L | post ποδαλγήσει add. Θεοῦ χάριτι P **123, 1** ρκγʹ] μηʹ P ¦ κβʹ sine ρʹ X | ἐρυσιπέλατα add. ὠφέλιμον πάνυ ὅ καὶ L | ἡ σύνθεσις X ¦ αὐτὰ L **2** ἀνὰ – ἥμισυ] ἴσα P | τρίψας – 3 μετ' om. P | καλῶς om. X **3** ὄξει καὶ λειώσας P | τοῦ ἀρκοῦντος L | καὶ χρῶ om. X

ὡσαύτως λιθάργυρον ἢ φοινικαρυίνου ὄξους· χυλὸν κολιάντρου ταῦτα δεύσας ὁμοῦ, σὺν ῥοδίνῳ ἐλαίῳ τὸ ἀρκοῦν· ἐπίχριε μετὰ πτεροῦ δόκιμον γὰρ ἐστὶν. 123a

ρκδʹ Πρὸς τὸ μὴ ὀνειρώττειν, πάνυ θαυμαστόν· ἔχει: 124

Θριδακίνου σπέρμα· λειώσας καλῶς, δεῦσον μεθ' ὕδατος τὸ ἀρκοῦν καὶ δίδου ἐξ αὐτοῦ πιεῖν, ὅσον βούλει· τοῦτο τοῖς ὀνειρώττουσιν βοηθεῖ καὶ συνουσίας ἀποστρέφει·

Ὁμοίως· ἄγνου σπέρμα ὁλκὴν αʹ· τριφθεῖσα καὶ ποθεῖσα μετ' οἴνου κυάθους βʹ· δόκιμον γὰρ ἔστιν· 124a

Ὁμοίως· ἄγνου σπέρμα· σὺν θριδακίνου σπέρμα, ἀνὰ ὁλκὴν αʹ· λειώσας καλῶς, δεῦσον σὺν ὕδατι τὸ ἀρκοῦν καὶ σκευάσας, δίδου. 124b

ρκεʹ Πρὸς τριχιῶντας ὀφθαλμούς· δόκιμον· ἔχει: 125

Μετὰ τὸ τῖλαι ἀπὸ ῥιζῶν τὴν τρίχα εὐθέως τὸν πυρῆνα τῆς μήλης πυρώσας, ἔνθες ἐν τῷ τόπῳ καὶ τυλώσας, οὐκέτι φύει ἡ θρὶξ·

Ὁμοίως· χολὴν τραγείαν καὶ γάλακτος γυναικὸς πρωτοτόκου· δεύσας ὁμοῦ, μετὰ τὸ ἐκτῖλαι τὴν τρίχα, ἔγχρισον· χρῶ. 125a

ρκϛʹ Πρὸς πτίλους ὀφθαλμοὺς καὶ τρίχας μὴ ἔχοντας. ἄκρως ποιεῖ τὸ τοιοῦτον, ἄγει τρίχας· ἔχει: 126

Μυοχάδος καὶ κόπρον τράγου, ἀνὰ οὐγγ αʹ· τρίψας καλῶς, δεῦσον σὺν μέλιτι Ἀττικῷ καθαρῷ, τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, ἔγχριε· τὸ τοιοῦτον καὶ μίλφους ὠφελεῖ· χρῶ.

---

**123a, 1** ὡσαύτως] Ἄλλον P | λιθαργύρου X | φυκαρίνου X L | χυλοῦ X | ταῦτα om. X ¦ ἑνώσας καὶ L ταῦτα δεύσας om. P | ὁμοῦ om. X | ῥοδίνου ὁμοῦ λειώσας P **2** μετὰ L | ῥοδίνου ἐλαίου τοῦ ἀρκοῦντος L ἐλαίῳ – ἀρκοῦν om. X | ἐπίχριε post δόκιμον P | χρῖε σὺν πτερῷ X | μετὰ om. P | πτερῷ P | δόκιμον – ἐστὶν om. X | γὰρ ἐστὶν om. P | ἐστὶν om. L **124, 1** ρκδʹ] μθʹ P ¦ κγʹ sine ρʹ X | πάνυ om. L | πάνυ θαυμαστόν om. P | πάνυ – ἔχει om. X **2** Θρίδακος P X ¦ Θριδακίνης L | σπόρου X | λεία ποιήσας P | καλῶς om. X | σὺν ὕδατι P | τοῦ ἀρκοῦντος L | τὸ – καὶ om. P | post δίδου add. τῷ βουλομένῳ L | ἐξ – 3 αὐτοῦ om. P X **3** πίνειν X | ὅσον βούλει om. P X | τοῦτο – βοηθεῖ om. X | post ὀνειρώττουσιν add. βουλομένοις L | συνουσιασμοῦ L **124a, 1** Ἄλλον ἔχει novum praeceptum, sine numero P | σπόρου X | τριφθὲν L τριφθεῖσα καὶ om. P | τριφθεῖσα – ποθεῖσα] λειώσας ὁλκὰς αʹ, δὸς πιεῖν X | ποθῇ P ¦ ποθὲν L | post οἴνου add. ὅσον P | κυάθων L **2** δόκιμον – ἔστιν] δίδου ὡς δόκιμον P ¦ om. X ¦ ὠφέλιμον L **124b, 1** Ὁμοίως] Ἄλλον ὅμοιον καλόν· ἔχει novum praeceptum, sine numero P | σπέρμα[1] om. X | σὺν om. P ¦ καὶ X ¦ μετὰ L θρίδακος X ¦σπέρματος θριδακίνης L | τριφθὲν L | καλῶς om. X | καλῶς δεῦσον om. P **2** αὐτὸ μεθ' ὕδατος L | τοῦ ἀρκοῦντος L | πιεῖν P ¦ καὶ δὸς πιεῖν X | post καὶ add. καλῶς L | post δίδου add. τοῖς χρῄζουσιν πίνειν καὶ ὠφελήσεις L **125, 1** ρκεʹ] νʹ P ¦ κδʹ sine ρʹ X | δόκιμον ἔχει om. P X | ἔχει om. L **2** ἐκτίλλαι P X ἐκ L | ἀπὸ ῥιζῶν om. X ¦ post τὸ L | τὰς τρίχας P L | μήλης] μύλης X ¦ σμίλης L | ἐντίθει P | ἐπὶ L **3** τοῦ τρόπου L | post τυλώσας add. αὐτὸν L | φύεται X | ἡ θρὶξ] εἰς τὸ ἔμπροσθεν τρίχας L **125a, 1** Ἄλλον· ὅμοιον: Κολλούριον τὸ διὰ ῥόδων novum praeceptum, sine numero P | τράγου X | γάλα L | γυναικείου P post ὁμοῦ add. λειώσας P **2** τὴν τρίχα om. P ¦ τὰς τρίχας L | ἔγχρισον χρῶ] ἄλειφε ἐξ αὐτοῦ τὸν τόπον καὶ οὐκέτι τριχοφυήσει L | χρῶ om. P X **126, 1** ρκϛʹ sine numero P | σπίλους S | ὀφθαλμῶν X L | ὠφελεῖ τόδε καὶ L | τὸ τοιοῦτον om. P X | ἀνάγει P **2** ἔχει om. X **3** καὶ om. P | κόπρου L | ἀνὰ – αʹ] ἴσα P | τρίψας – 4 καλῶς] κεκομένα καὶ σεσεισμένα ἀκάπνῳ λειούμενον καὶ P | καλῶς om. X | μετὰ L | μέλιτος ἀττικοῦ καθαροῦ τοῦ ἀρκοῦντος L | Ἀττικῷ – 4 καλῶς] καὶ X **4** ἐγχριόμενον P | τοῦτο | διὰ πείρας P ¦ om. X L

127 ρκζʹ Πρὸς ἐγκανθίδας, πάνυ θαυμαστόν· ἔχει:

Μίσυος ὀπτῆς· ζιντζίβερι, ἀνὰ ὁλκὴν αʹ· τρίψας ταῦτα καλῶς, δεῦσον μετὰ μέλιτος Ἀττικοῦ τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, χρῶ.

128 ρκηʹ Πρὸς χαλάζια τὰ ἐν ὀφθαλμούς, πάνυ καλόν· ἔχει:

Λαβὼν ἐκ τοῦ κριογενοῦς τροχίσκου, οὐγγ ἥμισυ· τρίψας καλῶς, δεῦσον σὺν ὄξει τὸ ἀρκοῦν καὶ περιχρισθείς, ἄνωθεν καὶ ἐπάνωθεν ῥάκος ἐπιτιθὲν τὸ τοιοῦτον ἄκρως θεραπεύει· χρῶ.

129 ρκθʹ Πρὸς χαλάζια, τὰ γινόμενα, ἐν τοῖς βλεφάροις· πάνυ δόκιμον καὶ θαυμαστόν· ἔχει:

Νίτρου Ἀλεξανδρινοῦ· χαλβάνης, ἀνὰ οὐγγ ἥμισυ· τρίψας ταῦτα καλῶς· ἐπίπασσε ἄνωθεν· χρῶ.

130 ρλʹ Πρὸς πτερύγια, τὰ ἐν ὀφθαλμοῖς γινόμενα· ἔχει:

Ὀστράκου κεκαυμένου, οὐγγ αʹ· καδμείας· ἁλὸς ὀρυκτοῦ, ἀνὰ οὐγγ ἥμισυ· λειώσας ταῦτα καλῶς, δίδου ἐπὶ τῆς χρείας·

130a Ὁμοίως χαλκοῦ κεκαυμένου χαλκάνθου, ἀνὰ ὁλκὴν αʹ· τρίψας ταῦτα καλῶς, δίδου ἐπὶ τῆς χρείας· ὅταν δὲ ἄρῃς, κολλύριον τρυφερόν εἰς ἄλειφε·

130b Ὁμοίως· λίθου Ἀσιανοῦ, ἄνθος· λειώσας εὐτόνως, χρῖσον σὺν αὐτὰ, ὀλίγῳ κρόκῳ τοῦ ᾠοῦ καὶ πρόσαπτε τοῦ πτερυγίου καὶ ἀρθήσεται· τοῦτο χωρὶς χειρουργίας, εἰς τὸ τέλος ἆραι καὶ οὕτως χρῶ.

131 ρλαʹ Πρὸς πόλυπας καὶ ὀζαίνας, δόκιμον· ἔχει:

Ἑλλεβόρου λευκοῦ καὶ μέλανος· ὀριγάνου· σανδαράχης, ἀνὰ οὐγγ ἥμισυ· τρίψας καλῶς, δεῦσον σὺν ἐλαίῳ κικίνῳ τὸ ἀρκοῦν καὶ ἐρίῳ ἀναλαβὼν διάχριε τοὺς μυκτῆρας· τοῦτο γὰρ μαλάσσει· ὅταν δὲ ἴδῃς, ὅτι τρυφερὸν ἐποίησε τὸν τόπον, χρῖσον τὸ

---

**127, 1** ρκζʹ] ναʹ P | πάνυ θαυμαστόν om. P | πάνυ – ἔχει] ἐπαινετὸν X **2** ὀπτοῦ X L | ζζʹʹ X ¦ ζιντζιβέρεως L | τρίψας – μετὰ] καὶ P | ταῦτα καλῶς om. X | μετὰ om. X **3** Ἀττικοῦ om. P | Ἀττικοῦ – χρῶ om. X | τοῦ ἀρκοῦντος L | καὶ – καλῶς om. P | καλῶς om. L **128, 1** ρκηʹ] νβʹ P | ὀφθαλμοῖς P X L | πάνυ – ἔχει om. X | ἔχει om. L **2** Λαβὼν om. X | τὸν κριογενὸν τροχίσκον P | τρῖψον L | τρίψας – σὺν] καὶ P | καλῶς om. X | μετ᾽ L | ὄξους τοῦ ἀρκοῦντος L | τὸ – 3 ἄνωθεν] ἀνέθες ἐπιχρεῖ P **3** καὶ[1]] εἶτα L | ἐπίχρισον L περιχρισθείς ἄνωθεν] ἐπίχρισον X | post ἐπάνωθεν add. τοῦ χρίσματος θὲς L | ῥάκος – 4 χρῶ om. X | ἐπίθες P | καὶ θεραπεύσεις τὸν πάσχοντα ἀρίστως L | τοῦτο γὰρ P **4** χρῶ om. P **129, 1** ρκθʹ] νγʹ P ¦ ρλʹ L γινόμενα om. X | πάνυ – θαυμαστόν om. P | πάνυ – ἔχει om. X **2** ἀναλαβὼν P | ταῦτα καλῶς om. X **3** ἄνωθεν χρῶ om. P | χρῶ om. X L **130, 1** ρλʹ] νδʹ P | γινόμενα om. P | γινόμενα ἔχει om. X **2** οὐγγ αʹ] μέρος βʹ P | ἅλατος L | οὐγγ ἥμισυ] μέρος αʹ P | λειώσας – 3 χρείας] τρῖψον X **3** ταῦτα – χρείας] χρῶ P **130a, 1** Ἄλλον sine numero P | τρίψας – 2 χρείας] λειοῖς· χρῶ P | ταῦτα – 2 χρείας om. X **2** εἰς om. X **130b, 1** νεʹ Ἄλλον P | ἄνθους post Ὁμοίως L | χρῖσον – αὐτὰ] ἔμβαλε ἐν αὐτῷ L | σὺν αὐτὰ om. P | αὐτῷ X ὀλίγον post ᾠοῦ L | ὀλίγον κρόκον P | κρόκου L | τοῦ – 2 ᾠοῦ om. P **2** καὶ[1] – πτερυγίου om. X | τῷ πτερυγίῳ L | τοῦτο om. P | post χωρὶς add. ἄλλης τινὸς L | χωρὶς – 3 ἆραι post Ὁμοίως P **3** αἴρει X L σκευάσας οὖν L | καὶ – χρῶ om. P X **131, 1** ρλαʹ sine numero P | πολύποδας P X L | δόκιμον om. P ¦ μυκτήρων X | ἡ σύνθεσις X **2** τρίψας – 3 δεῦσον om. P **3** καλῶς om. X | μετ᾽ L | ἐλαίου κικκίνου τοῦ ἀρκοῦντος L | συκιωνίῳ X | τρίψας P **4** γὰρ om. P X ¦ οὖν L | ἤδη ἐποίησας L | ἐπίπασσε X

ὑποτεταγμένον ξηρίον ὀζαινικόν· ὥστε χωρὶς σιδήρου τεμεῖν· ἤτοι ταῦτα· μίσυος ὠμοῦ· ἰοῦ ξεστοῦ, ἀνὰ ὁλκῆς ἥμισυ· λειώσας ταῦτα καλῶς, δεῦσον μετ᾽ ὄξους τὸ ἀρκοῦν· ὥστε γλοιῶδες γενέσθαι καὶ ὑπόχριε σὺν πτερῷ καὶ ἐντὸς ἡμερῶν ιʹ, πίπτει· χρῶ.

ρλβʹ Πρὸς πόλυπας, ἀπαράβατον, ἐστὶν· ἔχει: 132

Λαβών, πολύπιον θαλάσσιον· καῦσον ἐν κλιβάνῳ, μετὰ ξύλων ἐλαίας, ἕως τέφρα γένηται καὶ λαβὼν ἐξ αὐτοῦ, οὐγγ αʹ· ἔμβαλε καὶ χαλκάνθην, οὐγγ ἥμισυ· τρίψας ταῦτα ὡς χνοῶδες καὶ διὰ καλάμου ἐξ αὐτοῦ, ἐμφύσας ταῖς μυκτῆρσιν· χρῶ.

ρλγʹ Πρὸς ὀζαίνας καὶ ἀναβρώσεις καὶ νομὰς καὶ παχύματα καὶ ὅσα περὶ μυκτήρων, 133
τοῦτο, θεῖον ἐστὶ φάρμακον καὶ θαυμαστόν· ἔχει:

Μάννης· χαλκάνθου· λιβάνου· χαλκίτεως· ἀριστολοχίας· ἀμπέλου λευκῆς χυλόν, ἀνὰ ὁλκὴν αʹ καὶ ἥμισυ· ταῦτα λείου ἕως ξηρὸν γένηται καὶ δίδου ἐπὶ τῆς χρείας, ὡς δόκιμον· χρῶ.

ρλδʹ Πρὸς τὰ ἐν ῥισὶν ἕλκη, δόκιμον· δέχεται: 134

Στέατος μόσχου· βουτύρου προσφάτου· στέατος χηνείου, ἀνὰ ὁλκὴν αʹ· μολύβδου κεκαυμένου, ὁλκὰς ςʹ· ῥοδίνου ἐλαίου, ὁλκὰς δύο· τὸν μόλυβδον, σὺν τῷ ἐλαίῳ λείωσον καὶ μίσγε τοῖς τηκτοῖς· μὴ λείαν δὲ καθέψων καὶ οὕτως σκευάσας καλῶς, χρῶ.

ρλεʹ Πρὸς ἐγκανθίδας καὶ πτερύγια, δόκιμον· ἔχει: 135

Χαλκάνθου μέλανος, ἐξαγ βʹ· ἐπίβρεχε ὕδατι ὀλίγῳ ἐπὶ ἡμέρας γʹ· ἔπειτα ξηράνας, πρόσβαλε σὺν αὐτῷ, λεπίδος χαλκοῦ, ἐξαγ βʹ καὶ λειώσας ὡς χνοῶδες, χρῶ· προσαπτόμενον τὸ τοιοῦτον ξηρίον, ὠφελεῖ καὶ εἰς λευκώματα, τὰ τοιοῦτον ξηρίον, ὠφελεῖ καὶ εἰς λευκώματα, τὰ ἐν ὀφθαλμοῖς· χρῶ.

---

**5** ὑπογεγραμμένον X | ξηρίον ὀζαινικόν transp. X L | ὅπερ καὶ L | ἤγουν X L | ταῦτα om. P **6** ξυστοῦ X L post ἥμισυ add. ἢ X | λειώσας – δεῦσον om. P | ταῦτα καλῶς om. X | τοῦ ἀρκοῦντος L | τὸ – ὥστε] λειώσας ὡς P | ὡς X | ὥστε – 7 γενέσθαι] καὶ τάραξον ὥστε ποιῆσαι αὐτὸ γλοιῶδες L **7** γενέσθαι om. X γενέσθαι – σὺν] ποιήσας καὶ ἐπίχριε P | χρῖε X ¦ add. αὐτὸ L | μετὰ L | post πτερῷ add. ἢ χρῶ ὧς ξηρᾶ X ¦ πτεροῦ L | καὶ[2] – ἡμερῶν] ἕως ἡμέρας P | post ιʹ add. καὶ γὰρ εὐθὺς P ¦ δέκα L | ἐστι γὰρ δόκιμον P ¦ om. X L **132, 1** ρλβʹ sine numero P | πολύποδας P X | ἀπαράβατον – ἔχει] τῶν μυκτήρων X | ἐστὶν om. P | ἐστὶν ἔχει om. L **2** Λαβών om. X | πολύποδαν P X | θαλάσσιον om. X | λαΐνων P | post ἕως add. οὗ X L | ἕως – 3 γένηται post καῦσον L **3** τοῦτο P | οὐγγ αʹ] μέρη βʹ P | ἔμβαλε om. P | ἔμβαλε καὶ om. X | χαλκάνθου L οὐγγ ἥμισυ] μέρη αʹ P | τρίψας – 4 χνοῶδες] συλλείωσας P | ταῦτα – 4 χνοῶδες om. X **4** ποιήσας χνοώδη L | διὰ – ἐμφύσας transp. L | ἐξ αὐτοῦ om. P X | ἐμφύσα X L | μυκτῆρσιν] ῥισί X | χρῶ om. P X **133, 1** ρλγʹ] νςʹ P | post ὅσα add. ἄλλα L **2** συμβαίνουσι L | τοῦτο – θαυμαστόν om. X | ἐστὶ om. P ¦ τὶ L φάρμακον] βοήθημα post θαυμαστὸν L | καὶ θαυμαστόν om. P | ἡ σύνθεσις X **3** Μάνεως L | χυλοῦ X L **4** ταῦτα om. P X | post ἕως add. οὗ X L | post καὶ[2] add. οὕτως L | καὶ[2] – 5 χρῶ om. X | δίδου – χρείας] χρῶ P | ἔστι γὰρ δοκιμώτατον L | θαυμάσιον P **5** χρῶ om. P L **134, 1** ρλδʹ] νζʹ P | δόκιμον om. P ¦ πάνυ καλὸν X | ἔχει P ¦ ἡ σύνθεσις X **2** μοσχείου X | χηνὸς X **3** ῥοδελαίου X | δύο] βʹ P **4** λείαν – καθέψων] μὴ ἐπὶ πολὺ ἕψε L | καθέψει X | καὶ[2] – χρῶ om. P X | χρῶ] δίδου τοῖς πάσχουσι χρῆσθαι L **135, 1** ρλεʹ] νηʹ P δόκιμον om. P X | ἡ σύνθεσις X **2** ἐξαγ βʹ] μέρη αʹ P | βρέχε X | ἐπὶ om. X | εἶτα X **3** πρόσθες X | σὺν αὐτῷ om. P | ἐξαγ βʹ] μέρη αʹ P | αὐτὸ καὶ ποιήσας L | ὡς χνοῶδες om. P X **4** post προσαπτόμενον add. αὐτοῦ L | προσαπτόμενον – ξηρίον[1]] ξηρίον προσαπτόμενον τοῦτο P | ὠφελεῖ – 5 ὠφελεῖ] ποιεῖ θαυμαστῶς P | πρὸς add. τὰ ἐν ὀφθαλμοῖς L | τὰ – 5 λευκώματα om. X | τὰ – 5 χρῶ] οἶμαι νάρκης θέλει L **5** πρὸς P τὰ – χρῶ om. P | χρῶ om. X

136 ρλϛʹ Πρὸς τριχιῶντας ὀφθαλμούς, δόκιμον· ἔχει:

Στυπτηρίας σχιστῆς· ἐγκέφαλον, ἄρκης θαλασσίας ζώσης· δεύσας καλῶς ταῦτα ὁμοῦ, ὑπόχριε· τοῦτο προτῖλαι τὰς τρίχας, ὡς καλὸν καὶ δόκιμον, χρῶ.

137 ρλζʹ Πρὸς παρωτίδων σκληρίας, καλόν· ἔχει:

Κράμβης παλαιᾶς φύλλα· ὀξουγγίου παλαιοῦ· ψυχίας σιλιγνίου βεβρεγμένας· ὕδατι ὁμοῦ πάντα συλλεάνας καὶ σκευάσας καλῶς, χρῶ.

138 ρληʹ Πρὸς ψυῶν πόνους, πάνυ ἐπαινετὸν ἔχει:

Ὕελον ἀναλαβὼν καθαρόν· λείωσον ἐπιμελῶς καὶ εἰς δέρμα ἀσκοῦ παλαιοῦ βαλών· χλιάνας ἐπʼ ἀνθράκων· εἶτα ἐπίπασσε τὸ ξηρίον τοῦ ὑέλου, κατὰ τῶν ψυῶν καὶ χρῶ, ἐπὶ ἡμέρας ζʹ·

138a Ὁμοίως· τέφραν ἀμπελίνην σήσας καὶ δεύσας μετʼ ἐλαίου τὸ ἀρκοῦν καὶ ἀναλαβὼν ῥάκος καὶ ἐπιπλάσας, χρῶ.

139 ρλθʹ Πρὸς λυγμόν, πάνυ ἀγαθὸν καὶ δόκιμον· ἔχει:

Πήγανον μετʼ οἴνου δίδου ἢ σέλινον ἢ καστόριον ἢ ἀβρότονον ἢ ἀριστολοχίαν ἢ δαύκου Κρητικοῦ ἢ κύμινον ἢ ἀνίσου ἢ ζιντζιβέρεως ἢ σκόρδιον ἢ δίκταμνον ἢ καλαμίνθην ἢ ἄκορον ἢ Κελτικήν ἢ γλήχωνα ἰδία ἑκατόν, πρὸς τὴν δύναμιν·

---

**136, 1** ρλϛʹ] νθʹ P | τριχιοῦντας S | δόκιμον om. P | δόκιμον ἔχει om. X **2** δεύσας – ὁμοῦ] ἐκλειώσας P καλῶς – ὁμοῦ om. X | ὁμοῦ] καὶ ποιήσας ἕν **3** χρῖε X | τοῦτο om. P X ¦ add. ἔστιν δόκιμον εἰς τὸ L | ὡς – χρῶ om. P X L **137, 1** καλόν om. P | καλόν ἔχει om. X **2** Κράμβης – φύλλα transp. L | παλαιᾶς om. L παλαιᾶς φύλλα transp. X | ὀξυγγίου X ¦ ἀξούγγιον L | ὀξούγγιον παλαιὸν L | παλαιὸν X | ψίχας L σιλιγνίτου X **3** ὁμοῦ πάντα om. X | πάντα om. P | λειώσας L | καὶ – καλῶς] ὡς δόκιμον P ¦ om. X **138, 1** ρληʹ] ξαʹ P | ψοιῶν X L | ψυῶν πόνους transp. L | πάνυ ἐπαινετὸν om. P | πάνυ – ἔχει] δόκιμον X **2** ἀναλαβὼν om. X | καθαρόν om. P ¦ καθαρὰν L | post καὶ add. ποίησον χνοώδη, εἶτα L | βαλὼν εἰς ἀσκὸν παλαιὸν L | βαλών om. P **3** χλίαινε L | εἶτα om. P ¦ καὶ χλιάνας καλῶς L | ἐπίπαττε L | τῆς L | post ὑέλου add. φάρμακον X | ἐπὶ L | ψοιῶν L | ποίει τοῦτο L | ἐπὶ om. X **4** ἑπτὰ L **138a, 1** Ἄλλον P | ἀμπέλου P X σήσας – δεύσας om. P | τοῦ ἀρκοῦντος L | τὸ – καὶ² om. P | καὶ² – 2 ἐπιπλάσας] ἐπίπλασον εἰς ῥάκος καὶ X | λαβὼν L **2** ἐπίχρισον ἐπάνω αὐτοῦ τοῦτο καὶ ἐπίθες κατὰ τῶν ψοιῶν L **139, 1** ρλθʹ] ξβʹ P | πάνυ – δόκιμον om. P ¦ τὸ διὰ πηγάνου X | ἔχει om. X **2** post Πήγανον add. λειώσας L | καστορίου X **3** δαύκον Κρητικὸν X L | Κρητικοῦ om. P | ἄνισον L | ἄνισο ἢ ζιντζίβερι P | ζιντζίβερι L **4** post γλήχωνα add. ταῦτα δίδου L | ἕκαστον P | πρὸς – δύναμιν] τρίψας δίδου P | τὴν om. X | post δύναμιν add. τοῦ λαμβάνοντος L

Ὁμοίως ἀβροτόνου, κέρατα θʹ· κυμίνου Αἰθιοπικοῦ, κέρατα ιʹ· τρίψας ταῦτα καλῶς, δεῦσον σὺν ὕδατι θερμῷ, τὸ ἀρκοῦν καὶ δίδου πιεῖν. 139a

ρμʹ Πρὸς ἕλμινθας διὰ πείρας· δόκιμον· ἔχει: 140

Καννάβεως σπέρμα, ξηρόν· κόψας καὶ σήσας καὶ ὕδατι μίξας τὸ ἀρκοῦν· ὥστε χυλῶδες γενέσθαι καὶ ῥάκι καθαρῷ ἐκπιάσας, δίδου ἐξ αὐτοῦ πιεῖν, κύαθον αʹ·

---

**139a, 1** Ὁμοίως] ξγʹ Πρὸς λυγμὸν P | ιʹ] θʹ P | τρίψας – 2 σὺν om. P | ταῦτα καλῶς om. X | καλῶς om. L **2** δεῦσον om. L | μεθ’ ὕδατος θερμοῦ L | τὸ – καὶ om. L | τὸ – πιεῖν om. P | δὸς X | δίδου πιεῖν post καλῶς L **140, 1** ρμʹ] ξδʹ P | δόκιμον om. P ¦ πάνυ καλὸν L | δόκιμον ἔχει om. X **2** σπόρου X | ξηρόν om. P | καὶ σήσας om. P X | μεθ’ ὕδατος ἑψήσας P | τῷ ἀρκοῦντι L | δίδου πιεῖν. postea novum praeceptum Ἄλλον· Ἀγρόστεως ῥίζας ἀναλαβὼν καὶ ἀποπλήνας κόψον P | τὸ – 3 αὐτοῦ] δὸς X | ὡς L **3** χυλῶδες γενέσθαι transp. L | ἔμβαλὼν αὐτὸ εἰς ῥάκος καθαρὸν L | καθαρῷ om. P | ἐκπίεσον καὶ L | τοῦτο P | αʹ in margine add. Θύμου κωδείας καὶ ἀποστύψας καὶ πίνειν νῆστις, ὅσον οὐγγ βʹ P

140a Ὁμοίως· βόλβιτον ξηρόν, καύσας καὶ ποιήσας ξηρίον, ἐξ αὐτοῦ δίδου ὁλκὴν α΄· μετ᾽ οἴνου τὸ ἀρκοῦν πιεῖν·

140b Ὡσαύτως· χαμαιάκτης ῥίζαν, κόψας εἰς ὅλμον καὶ μετὰ ὀθονίου ἐκπιάσας· ἐξ αὐτοῦ τοῦ χυλοῦ, ὅσον σχῇ· μετὰ ὕδατος τὸ ἀρκοῦν, δὸς πιεῖν· τὴν δὲ γαστέρα καὶ τὸν νῶτον, φύλλα ἀκταίας, φασκίωσον·

140c Ὁμοίως δόκιμον· καρδαμώμου σπέρμα· λειώσας μετὰ μέλιτος Ἀττικοῦ τὸ ἀρκοῦν, δὸς πιεῖν·

140d Ὡσαύτως, σινώπιδος· κορίου· κολιάνδρου· πρίσμα· κέρατος ἐλάφου, ἀνὰ δράμ α΄· τρίψας ταῦτα καλῶς, ὡς χνοῶδες, δίδου ἐπὶ τῆς χρείας, ὅσον κοχλιάριον α΄· μετ᾽ οἴνου εὐκράτου τὸ ἀρκοῦν·

140e Ὁμοίως· κορίου κοκκία λ΄ καὶ μελάνθου, κοκκία λα΄· τρίψας καλῶς, δεῦσον μετ᾽ ὑδρομέλιτος καὶ δὸς πιεῖν νῆστις.

141 ρμα΄ Πρὸς ἕλμινθας πλατείας καὶ ἀσκαρίδας· ἔχει:

Κυτίνου· καρδαμώμου σπέρμα, ἀνὰ οὐγγ ἥμισυ· τρίψας ταῦτα καλῶς, ποίησον ξηρίον καὶ δίδου ἐπὶ τῆς χρείας, κοχλιάριον α΄· μετ᾽ οἴνου εὐκράτου, πρωὶ νῆστις· χρῶ.

141a Ὡσαύτως· ἀμμωνιακοῦ θυμιάματος· ἁλὸς ἀμμωνιακοῦ· νίτρου Ἀλεξανδρινοῦ, ἀνὰ ὁλκῆς ἥμισυ· πτέρεως ῥίζαν, ὁλκὰς β΄ καρδαμώμου· καρύου ξηροῦ ἀνὰ ὁλκὴν α΄ καὶ

---

**140a, 1** Ἄλλον P | καὶ – αὐτοῦ] τρίψας X | ἐξ – δίδου transp. L | ὁλκὴν – 2 πιεῖν transp. P **2** τοῦ ἀρκοῦντος L | πιεῖν post α΄ L **140b, 1** Ἄλλον P ¦ Ὁμοίως L | ἐν ὁλμῷ add. καλῶς L | μετὰ – ἐκπιάσας transp. L ἐκπιέσας X | ἐξ αὐτοῦ om. X | καὶ τὸν χυλὸν P | τὸν χυλὸν X **2** ὅσον – ἀρκοῦν om. X | post σχῇ add. πιεῖν L | τὸ ἀρκοῦν om. P ¦ τοῦ ἀρκοῦντος L | δίδου X | δὸς πιεῖν om. L | post πιεῖν add. μεθ᾽ ὕδατος τὸ ἀρκοῦν X | καὶ – νῶτον om. X **3** φύλλων ἀκταίας L **140c, 1** Ἄλλον P | δόκιμον om. X L | Ἀττικοῦ om. P Ἀττικοῦ – ἀρκοῦν om. X | ἀκράτως P ¦ τοῦ ἀρκοῦντος L | δίδου L **2** φαγεῖν X **140d, 1** Ἄλλον διὰ πείρας P ῥίνισμα X ¦ πρίσματος L | ἐλαφείου L | ἀνὰ – α΄] ἴσα P **2** τρίψας – χνοῶδες om. P | ταῦτα – χνοῶδες om. X | post καλῶς add. καὶ L | ποιήσας χνοώδη L | post δίδου add. ἐξ αὐτοῦ L | ἐπὶ – χρείας om. P | ἐπὶ – ὅσον om. X **3** τὸ ἀρκοῦν om. P ¦ τοῦ ἀρκοῦντος L **140e, 1** Ἄλλον P | καὶ om. X | μελανθίου X L | λα΄] λ΄ P | τρίψας – δεῦσον] λειώσας P | καλῶς om. X | μεθ᾽ X **2** post ὑδρομέλιτος add. τὸ ἀρκοῦν X ¦ οἰνομέλιτος L | δίδου L | πίνειν L | νῆστις om. P **141, 1** ρμα΄] ξε΄ P | ἔχει om. X ¦ δόκιμον L **2** post σπέρμα add. πεπέρεως P ¦ σπόρου X | τρίψας – καλῶς om. P | ταῦτα – 3 καὶ om. X | ποιήσας P **3** post δίδου add. ἐξ αὐτοῦ L | ἐπὶ – χρείας om. P X | εὐκράτου – χρῶ om. P | πρωὶ om. X | χρῶ om. X **141a, 1** Ἄλλον διὰ πείρας P | post θυμιάματος add. ὁλκὴν ἥμισυ· P | ἀμμωνιακοῦ$^2$ om. P | Ἀλεξανδρινοῦ om. P **2** πτέρεως ῥίζαν transp. L | ῥίζης X L

ἥμισυ· τρίψας ταῦτα πάντα καλῶς, δεῦσον μετʼ ὄξους καὶ ὕδατος, ἀνὰ κοτύλης ἥμισυ καὶ σκευάσας καλῶς, δίδου πιεῖν πρωὶ νῆστις· ἔστι γὰρ διὰ πείρας δόκιμον· χρῶ.

ρμβʹ Πρὸς τοὺς δακνομένους τὸν στόμαχον, χωρὶς φανερᾶς αἰτίας καὶ ἐν τῷ ἐσθίειν, μὴ ἀναλαμβάνοντας· ἀλλὰ συντηκομένους καὶ μάλιστα ἢ χωρὶς χυμοῦ· τοῦτο γίγνεται· ἔχει: 142

Ἀγρίου σικύου τὴν ῥίζαν τὸν χυλόν· δὸς πιεῖν, ὅσον κοχλιάρια δʹ· μίξας τὸν τοιοῦτον χυλόν, μετὰ καρυίνου ἐλαίου ἢ ἄλλου τινὸς τοιούτου· τὸ τοιοῦτον γάρ, ἐκβάλλει θηρίον ἀμφίστομον· ὅμοιον ἕλμινθας· χρῶ.

Ἄλλον, δόκιμον ὡς τὸ πρὸ τούτου· ᾧ ὁ πρίγκιψ ἐχρήσατο, τοῦτο ὡς θαυμαστόν· ἔχει: 142a

Ἐλαίας λευκάς· εἴη ἀπὸ δένδρων· λαβὼν κεʹ τὸν ἀριθμὸν ἢ λʹ· ἑψήσας, δίδου φαγεῖν νῆστις ἐφʼ ἑξῆς, ἡμέρας δʹ ἢ εʹ, ὡς περὶ ὥραν βʹ καὶ ἥμισυ καὶ ἐκβάλλει θηρίον, ὅμοιον τοῦ προειρημένου.

ρμγʹ Πενταμύρου σκευασία· πάνυ δόκιμος· ἔχει: 143

Στύρακος καλαμίτου, οὐγγ αʹ καὶ ἥμισυ· μαστίχης, οὐγγ ἥμισυ καὶ τέταρτον· νάρδου, οὐγγ δʹ καὶ ἥμισυ· ὀποῦ βαλσάμου, οὐγγ αʹ καὶ ἥμισυ· κηροῦ τρακταίου, οὐγγ ἥμισυ καὶ τέταρτον ταῦτα πάντα σκευάσας καλῶς· δίδου ἐπὶ τῆς χρείας.

ρμδʹ Πρὸς φλεγμονὴν προσώπου, θαυμαστόν· ἔχει: 144

Ἀκταίας φύλλων χυλόν· ποιήσας ὀλίγον κάθησαι καὶ τοῦ ὑγροῦ τὸν χυλόν ἀποσειρώσας ἔκχεε· τοῦ δὲ παχυτέρου τοῦ καθεσθέντος πρόσπλεξον· σὺν ἐλαίῳ ῥοδίνῳ τὸ ἀρκοῦν καὶ κηρὸν ᾠοῦ καὶ σκευάσας καλῶς, ἐπίχριε· δόκιμον γάρ ἐστὶν καὶ θαυμαστόν· χρῶ.

---

**3** τρῖψον L | τρίψας – μετʼ om. P | ταῦτα πάντα om. L | ταῦτα – καλῶς om. X | καὶ[2] – 4 καλῶς om. P **4** σκευάσας καλῶς om. X | δὸς X | πρωὶ om. X | πρωὶ – χρῶ om. P | ἔστι – χρῶ om. X | χρῶ om. L **142, 1** ρμβʹ] ξςʹ P | τοὺς om. X | φανερᾶς αἰτίας transp. X | ἐν om. X **2** ἢ om. X | ἔχει om. X L **3** ῥίζης X L χυλὸν τῶν ῥιζῶν P | τὸν[1] om. X L | δίδου τῷ πάσχοντι πιεῖν post δʹ L | δὸς – δʹ post ἐλαίου 4 X ¦ post τοιοῦτου L | δʹ] γʹ P | μίξας – 4 χυλόν om. X **4** ἐλαίου om. P | ἢ – τὸ om. X | τὸ τοιοῦτον] καὶ P | τὸ – γὰρ] ὄντος τοῦ χυλοῦ L | τοιοῦτον γὰρ] τοῦτο X **5** ἕλμινσιν X | ἑλμίνθῳ μεγίστῳ καὶ ἐστὶν ἡ τοιαύτη σκευασία εἰς τοῦτο χρήσιμος L | χρῶ om. X **142a, 1** anteἌλλον add. Πρὸς τὸ αὐτὸ ; novum praeceptum ; sine numero L | δόκιμον – τούτου om. P | ὡς[1] – τούτου om. X L | ἐχρᾶτο P | τοῦτο – θαυμαστόν om. P τοῦτο – ἔχει om. X | θαυμάσιον L **2** εἴη om. X | δένδρου L | τὸν ἀριθμὸν om. P X | δὸς X **3** ἐφʼ ἑξῆς om. X | ὡς om. X | δευτέρα P | καὶ[1] – καὶ[2] om. X | post θηρίον add. ἐγκαθήμενον τῷ στομάχῳ L **4** τῷ προειρημένῳ X L **143, 1** ρμγʹ deest P | διὰ στύρακος X | ἡ σύνθεσις X **3** ὀποβαλσάμου X | τρακταίου om. X **4** ταῦτα – χρείας om. X | post πάντα add. ἑνώσας καὶ L **144, 1** ρμδʹ] ξζʹ P | θαυμαστόν om. P θαυμαστόν ἔχει om. X **2** Ἀκταίας φύλλων transp. P | Ἀκταίας – χυλόν[1] transp. L | χυλόν[1]] χυλοῦ P | ἐάσας L | ἔασον καθεσθῆναι X | ἐγκαθίσαι L | τοῦ – χυλόν[2] post ἔκχεε L | τοῦ χυλοῦ X **3** τοῦ[1] – παχυτέρου] τὸν παχύτρον L | τοῦ[1] – καθεσθέντος] τὸ παχύτερο τὸ καθεσθὲν X | τοῦ[2] – σὺν] μίξας L | μίξας X | σὺν om. P ῥοδελαίου X | ἐλαίου ῥοδίνου P **4** τὸ ἀρκοῦν om. P ¦ τῷ ἀρκοῦντι L | ἐρυθροῦ X ¦ κρόκῳ L | καὶ[2] – καλῶς om. X | σκευάσας καλῶς om. P | δόκιμον – 5 χρῶ om. X | γὰρ – 5 χρῶ om. P | καὶ[3] – 5 χρῶ om. L

145 ρμε΄ Πρὸς φλεβοτομίας, φλεγμονὰς ἢ σκληρίαν γένηται τοῦ βραχίονος ἢ πυρεκτούσης ἢ θρόμβους· ἔχει:

Λαβὼν ζύμην σίτου καὶ μαλάξας καλῶς, ἐπίχριε τὸν τόπον· δόκιμον γὰρ ἐστὶν.

146 ρμς΄ Πρὸς σπλάγχνα καὶ σπλῆνα καὶ πρὸς ὕδρωπας μαλακτικὸν καὶ διαφορητικόν· ἔχει:

Σύκων λιπαρῶν, λίτραν α΄· κυπαρίσσου φύλλων χλωρὰ, λίτραν α΄· νίτρου Ἀλεξανδρινοῦ, λίτρας ἥμισυ· κόπτε τὴν κυπάρισσον· ἔπειτα τὰ σῦκα καὶ λειώσας τὸ νίτρον, σμῆξον τὰ εἴδη ὁμοῦ ἐπιμελῶς καὶ σκευάσας καλῶς καὶ ἐμπλάσας ῥάκι, ἐπίθες κατὰ τοῦ τόπου· χρῶ.

147 ρμζ΄ Πρὸς φλεγμονὴν σκελῶν ἢ ποδῶν, δόκιμον· ἔχει:

Κοχλίους χερσαίους μετὰ τῶν ὀστράκων, κ΄· λειώσας καλῶς, πρόσμιξον κιμωλίαν· σὺν ᾠῶν τὰ ἐρυθρὰ, τὸ ἀρκοῦν καὶ ἐπίθες ἐν θυίᾳ, ὥστε κηρῶδες γενέσθαι καὶ σκευάσας καλῶς, ἐπίχριε σὺν πτερῷ· ἐπὶ τῆς χρείας χρῶ.

148 ρμη΄ Ποτὸν διὰ πείρας, πλάδου ἀναξηραντικόν· ἔχει:

Ὀριγάνου, οὐγγ α΄· τρίψας καλῶς, δεῦσον μετ᾽ οἴνου Κρητικοῦ, εἰς ἀποτρίτωσιν καὶ λαβὼν ἐξ αὐτοῦ τοῦ οἴνου, δίδου ἐπὶ τῆς χρείας πιεῖν νῆστις, ἐπὶ ἡμέρας γ΄· κύλικος ἥμισυ· ἔστιν γὰρ τὸ τοιοῦτον, πάνυ δόκιμον· χρῶ.

149 ρμθ΄ Πρὸς στρόφον γαστρός, πάνυ θαυμαστόν· ἔχει:

Ὀρίγανον, εἰς ὕδωρ ἑψήσας εἰς ἀποτρίτωσιν, δίδου ἐπὶ τῆς χρείας πιεῖν, ὅταν βούλει.

---

**145, 1** ρμε΄] ξη΄ P | φλεγμονὴν φλεβοτομίας L | post σκληρίαν add. ἐὰν P | γένηται] τὰ ἀπὸ ταύτης γενόμενα post θρόμβους L | γένηται τοῦ om. X | ἢ πυρεκτούσης om. X **2** post θρόμβους add. ἢ ἄλλῳ τί P | ἔχει om. X **3** Λαβὼν om. P X | ζύμην σίτου transp. L | σιτίνη P | ἐπιμελῶς χρῶ P ¦ χρῖε X | τὸν τόπον om. P | δόκιμον – ἐστὶν om. X L | γὰρ ἐστὶν om. P **146, 1** ρμς΄] ξθ΄ P | πρὸς om. X L | ἡ σύνθεσις X **2** Σίκων P κυπαρίσσου post χλωρὰ L | φύλλα P | χλωρῶν X L **3** Ἀλεξανδρινοῦ om. P | post κόπτε add. πρῶτον καλῶς L | τὰ τῆς L | κυπαρίσσου add. φύλλα L | εἶτα X | post καὶ add. μετὰ ταῦτα L **4** μῖξον P X | ἕνωσον αὐτῆς καὶ μάλαξον L | ταῦτα τὰ τρία P | τὰ – καλῶς om. X | καὶ[1] – καλῶς om. P | καὶ[1] – καὶ[2]] εἶτα L **5** κατὰ – χρῶ om. P | χρῶ om. X L **147, 1** ρμζ΄] ο΄ P | ἢ] καὶ X | δόκιμον om. P | δόκιμον ἔχει om. X **2** Κοχλίας L χερσαίους om. P | κ΄ om. P | καλῶς om. P | μῖξον X ¦ add. αὐτοῖς L **3** καὶ L | ᾠῶν – ἐρυθρὰ transp. L ἐρυθροῖς X | κιρρὰ P | τοὺ ἀρκοῦντος L | αὔταρκες P | καὶ[1]] εἶτα L | καὶ ἐπίθες om. P | καὶ[1] – θυίᾳ om. X ἐν θυίᾳ post λειώσας P | κηρωθῆναι L | γενέσθαι om. L | καὶ[2] – 4 ἐπίχριε om. P | σκευάσας – 4 καλῶς om. X **4** χρῖε X | μετὰ πτεροῦ L | ἐπίχριε P ¦ om. X ¦ τὸν τόπον L **148, 1** ρμη΄ sine numero P | Ποτὸν – πείρας om. P | διὰ πείρας om. X | ἔχει om. X **2** οὐγγ – δεῦσον om. P | καλῶς om. X | post Κρητικοῦ add. ζέσας P ¦ add. καὶ βράσον L | εἰς – 3 οἴνου om. X | καὶ] ἐπὶ δὲ τῆς χρείας L | καὶ – 3 οἴνου om. P **3** ἐπὶ[1] – χρείας om. P X ¦ ταῦτα ἔχοντι L | νῆστις post γ΄ L | κύλικος – 4 ἥμισυ post οἴνου X | κύλικος – 4 πάνυ] ἐν ἅ πλούδος P **4** ἔστιν – χρῶ om. X | τὸ τοιοῦτον om. L **149, 1** ρμθ΄] οα΄ P | πάνυ θαυμαστόν] δόκιμον P ¦ τὸ διὰ ὀριγάνου X | ἔχει om. X L **2** μεθ᾽ ὕδατος L | εἰς ἀποτρίτωσιν om. P | δίδου – χρείας] δὸς X | ἐπὶ – χρείας om. P ὅταν βούλει om. P X

ρν΄ Πρὸς ἀμβλυωπίαν, θαυμαστόν· ἔχει: 150

Βοτάνην χελιδονίας λεγομένης· κόψας καλῶς καὶ λάβε ἐξ αὐτοῦ τοῦ ζωμοῦ, ὅσον βούλει καὶ δεῦσον μεθ’ ὕδατος τὸ ἀρκοῦν καὶ ἔγχριε ἐξ αὐτοῦ ἐπὶ τῆς χρείας ὡς δόκιμον, ὅταν βούλει.

ρνα΄ Πότιμον, πρὸς ἐμπυϊκοῖς, ἔχοντας ἀπόστασιν καὶ τοῦ ἥπατος· ἀγαθόν γὰρ ἐστιν· ἔχει: 151

Φύλλα πετροσελίνου· ὑσσώπου· ῥόδων ξηρῶν· ἀνίσου· ὀποῦ μήκωνος· κρόκου· ὑοσκυάμου σπέρμα· ζιντζίβερι· ναρδοστάχυος· ἴρεως, ἀνὰ οὐγγ α΄· τρίψας ταῦτα καλῶς, δεῦσον μετὰ μέλιτος Ἀττικοῦ, ἀπηφρισμένου τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, δίδου ἐπὶ τῆς χρείας εἰς νύκτα, κυάμου τὸ μέγεθος· χρῶ.

ρνβ΄ Πρὸς τὸ μὴ χρᾶσθαι οἶνον πλειστάκις· ἔχει: 152

λαβὼν ἔγχελυν ζῶντα, ἀπόπλυνον ἐν οἴνῳ καλῷ· ἐφ’ ἱκανὴν ὥραν· εἶτα σφάξον καὶ λαβὼν ἐκ τοῦ αἵματος αὐτοῦ, σμῆξον μετὰ τοῦ αὐτοῦ οἴνου καὶ δίδου πιεῖν, λάθρα ὅσον κύλικος ἥμισυ· πρωὶ νῆστις· ἐπὶ ἡμέρας γ΄ καὶ ὄψεις θείαν δύναμιν, ἐπὶ τοῦτο·

Ὁμοίως· λαβὼν σταφυλὴν θαλασσίαν· κόψας καὶ δεύσας τὸν ζωμὸν αὐτοῦ, σὺν οἴνῳ τὸ ἀρκοῦν δίδου πιεῖν λάθρα νῆστις· ἐπὶ ἡμέρας γ΄. 152a

ρνγ΄ Πρὸς δυσουρίαν καὶ λιθίασιν, πάνυ καλόν· ἔχει: 153

Λιθοπτέρεως· πεπέρεως κοινοῦ, πετροσελίνου σπέρμα, ἀνὰ ἐξαγ β΄· τρίψας καὶ σήσας καλῶς, δίδου ἐπὶ τῆς χρείας πρωὶ νῆστις, κοχλιάριον α΄· μετὰ κονδίτου·

---

**150, 1** ρν΄] οβ΄ P | θαυμαστόν om. P | ἔχει om. X L **2** τὴν χελιδοναίαν P | χελιδονίας λεγομένης transp. L λεγομένης – αὐτοῦ om. P | λεγομένης – 3 μεθ’] ζωμὸν καὶ X | λάμβανε L | αὐτῆς L | χυλοῦ P | ὅσον – 3 δεῦσον om. P **3** ἕνωσον L | τοῦ ἀρκοῦντος L | τὸ – καὶ[2] om. P | καὶ[2]] μίξας X ¦ add. λαμβάνων L | ἐξ – χρείας om. P | ἐξ – 4 βούλει om. X | ἐπὶ – 4 βούλει] τοὺς ὀφθαλμούς, ὅταν βούλῃ, ἔστιν γὰρ δόκιμον εἰς τὰ τοιαῦτα L **4** ὅταν βούλει om. P **151, 1** ρνα΄] ογ΄ P | ἐμπυϊκοὺς P X L ¦ add. καὶ πρὸς τοὺς L | ἔχοντας ἀπόστασιν post ἥπατος X | ἐπὶ L | ἀγαθόν – ἐστιν om. P X | πάνυ L **2** ἡ σύνθεσις X **3** Φύλλων L **4** ὑοσκυάμου σπέρμα transp. L | σπόρου X | ζζ΄΄ P | τρίψας – 5 μετὰ] καὶ P | ταῦτα καλῶς om. X **5** μετὰ om. X | Ἀττικοῦ om. X | Ἀττικοῦ ἀπηφρισμένου om. P | τοῦ ἀρκοῦντος L | καὶ – καλῶς om. X | καὶ – 6 χρείας] ὅσον ἡ δόσις P | post δίδου add. τοῖς πάσχουσιν L | ἐπὶ – 6 χρείας om. X **6** εἰς] κατὰ τὴν L | εἰς νύκτα post νύκτα P | post νύκτα add. ὅσον L | χρῶ om. P X **152, 1** ρνβ΄] οδ΄ P | χρῆσθαι X L | οἴνῳ X οἴνῳ πολλῷ L | πλειστάκις ἔχει om. P | ἔχει om. X **2** λαβὼν ἔγχελυν]Ἔγχελυν ἰχθὺν P ¦ χέλιον S | ζῶσα X καλῷ ἐφ’ om. X | καλῷ – 3 αὐτοῦ[1]] καὶ δίδου τὸν τοιοῦτον οἶνον ἐν τῷ οτῷ τοῦτο γὰρ οἴνου P **3** λαβὼν – τοῦ[2]] μῖξον τὸ αἷμα X | μῖσγον P | μετὰ – 4 τοῦτο] ποιεῖ P | post οἴνου add. μεθ’ οὗ ἀπέπλυνας αὐτὸν καὶ λαμβάνων ἐκ τοῦ τοιούτου οἴνου καὶ αἵματος L | καὶ δίδου] δὸς X | καὶ – λάθρα] καὶ δίδου πιεῖν τῷ ἐπὶ πολύ χρωμένῳ τῷ οἴνῳ post ἥμισυ L **4** πρωὶ om. X | ἐπὶ[1] om. X | καὶ – τοῦτο om. X ¦ καὶ βδελίξεται τὴν τοῦ οἴνου πολυποσίαν L **152a, 1** λαβὼν] δὲ καὶ P ¦ om. X | κόψας – τὸν om. X | κόψας – σὺν om. P | αὐτοῦ om. X αὐτῆς καὶ μῖξον L | μετ’ οἴνου L | τοῦ ἀρκοῦντος L | τὸ – 2 γ΄] ζενεμένον καὶ πινόμενον τοῦ οἴνου, μίσο οἴνου ποιεῖ P **2** ἐπὶ om. X **153, 1** ρνγ΄] οε΄ P | πάνυ καλόν om. P | πάνυ – ἔχει om. X **2** κοινοῦ om. P X πετροσελίνου σπέρμα transp. L | σπέρμα om. P ¦ σπόρου X | ἀνὰ – τρίψας] ἴσα κόψας P | καὶ – 3 καλῶς om. X **3** καλῶς om. P | post δίδου add. ἐξ αὐτοῦ L | ἐπὶ – χρείας om. X | ἐπὶ – νῆστις] ὅσον P | νῆστις om. X

153a Ὁμοίως· χελιδόνος κόπρον, οὐγγ ἥμισυ· τῆλις εὐώδους, ἐξαγ β΄· τρίψας καλῶς ὡς χνοῶδες· δεῦσον σὺν πεπέρεως κοινοῦ, ἐξαγ α΄· κεκομμένον· ἡ δόσις ἐξ αὐτοῦ τοῖς χρῄζουσιν, κοχλιάριον α΄· πρωὶ νῆστις· μετʼ οἴνου καλοῦ· τοῦτο, παραχρῆμα παύει τοὺς λίθους καὶ ἐξουρεῖσθαι ποιεῖ καὶ πρὸς κῶλον πόνον· τοῦτο πάνυ δόκιμον·

153b Ὡσαύτως· λαβὼν τέττιγας ξηρούς, ι΄· ἄρας αὐτῶν τοὺς πόδας καὶ τὰ πτερὰ καύσας ἐπʼ ἀνθράκων, τρίψας ὡς χνοῶδες· δεῦσον μετὰ μέλιτος Ἀττικοῦ τὸ ἀρκοῦν καὶ δίδου νῆστις, κυάμου τὸ μέγεθος· μετʼ οἴνου κεκραμένου, κράσεως α΄· ἐπὶ τῆς χρείας· ὡς δόκιμον.

154 ρνδ΄ Πρὸς παρωνυχίδας· πάνυ καλόν· ἔχει:

Φοίνικα μασησάμενος νῆστις· ἐπίθες ἐπάνω τοῦ τόπου· ὡς δόκιμον· χρῶ.

155 ρνε΄ Πρὸς ἀκροχορδῶνας καὶ θύμους ἐν αἰδοίῳ· ἔχει:

Κριοῦ χολῆς τιλτῆς ἀναλαβών, ἐπίχριε τὸν τόπον·

155a Ὁμοίως· μηλέας καὶ κυδωνέας τὰ ἄνθη· ἄκρατον κλάδον· ἕψε εἰς ὕδωρ τὸ ἀρκοῦν εἰς ἀποτρίτωσιν καὶ προσκλυσάσθω ἐξ αὐτοῦ χλιαρὸν πλειστάκις καὶ ἀποπίπτουσιν.

156 ρνς΄ Πρὸς κεφαλαλγικοὺς καὶ ἡμικρανικοὺς δόκιμον· ἔχει:

Σινήπεως σπέρμα, ἐξαγ β΄· ἀμμωνιακοῦ θυμιάματος, ἐξαγ α΄· τρίψας καλῶς, δεῦσον σὺν ὄξει, ὡς γλοιῶδες ποιήσας καὶ ἐπίχριε τὸ μέτωπον· προαποσμήξας λουτρῷ· ποιεῖ δὲ καὶ πρὸς τὰ χρόνια πάθη· χρῶ.

---

**153a, 1** Ἄλλον add. παραχρῆμα παύει τοὺς λίθους καὶ ὄξους ῥεῖσθαι πιεῖν P | οὐγγ ἥμισυ] λειοτριβείσα πρόσβαλε P | τήλεως L | εὐώδους om. X | ἐξαγ – 2 δεῦσον] ἕνεκα P | καλῶς – 2 χνοῶδες] καὶ ποιήσας χνοώδη L | καλῶς – 3 χρῄζουσιν] δίδου X **2** ἕνωσον μετὰ L | κοινοῦ om. P | ἐξαγ – κεκομμένον] καὶ πότιζε ἐν ὕδατι P | κεκομμένου L | δίδου add. τοῖς πάσχουσι L | ἐξ – 3 χρῄζουσιν om. P | τοῖς – 3 χρῄζουσιν] πίνειν L **3** πρωὶ νῆστις post χρῄζουσιν L | πρωὶ – 4 ἐξουρεῖσθαι] τοῦτο P | νῆστις om. X | καλοῦ om. X θραύει X L **4** πόνον κῶλου L | τοῦτο πάνυ om. X | ταῦτα τὰ εἴδη λαβών, δίδου δὲ δόκιμον P **153b, 1** Ἄλλον P | λαβὼν om. X | ι΄ om. P | ἄρας αὐτῶν] ἄνευ X | αὐτῶν om. L | τῶν ποδῶν καὶ τῶν πτερῶν X | καύσας] αὐτῶν καῦσον αὐτοὺς L | καύσας – 2 μετὰ] ταῦτα κόψας καὶ σήσας, μῖξον, ὀξυζοῦσης καὶ σὺν P **2** ὡς χνοῶδες om. X ¦ καὶ ποίησον τὴν τέφραν αὐτὼν χνοώδη L | Ἀττικοῦ om. X | Ἀττικοῦ – καὶ] ἀναλαβὼν P τοῦ ἀρκοῦντος L | ἡ δόσις X | post δίδου add. ἐξ αὐτοῦ L **3** κεκραμένου om. X L | post ἐπὶ – χρείας add. πρωὶ post δίδου L | ἐπὶ – ὡς] ἔστι γὰρ P | ἐπὶ – 4 δόκιμον om. X | ὡς] ἔστι δὲ τοῦτον L **154, 1** ρνδ΄] ος΄ P πάνυ καλόν om. P ¦ ἐπαινετὸν X | ἔχει om. X L **2** ἐπάνω om. P | ἐπάνω – χρῶ om. X | τῷ τόπῳ P | ὡς – χρῶ om. L | χρῶ om. P **155, 1** ρνε΄ sine numero P | αἰδοίοις L | ἔχει om. X ¦ λαβὼν L **2** χολὴν τιλτὴν L τιλτοῖς P | χρῖε X | ἐπίχριε – τόπον] χρῶ P **155a, 1** Ἄλλον sine numero P | τὰ om. X | ἄκρατων κλάδων X ¦ ἄκρα τῶν κλάδων L | ἔψει X | τὸ ἀρκοῦν om. P | εἰς[2]] μέχρι L **2** ἀποτριτώσεως L | καὶ[1]] εἶτα L | πρόκλυζε X ¦ ἐπίκλυζε L | διʼ L | ἐξ – πλειστάκις om. P | πλειστάκις] ἔτι ὄντος L **156, 1** ρνς΄] οζ΄ P | δόκιμον om. P δόκιμον ἔχει om. X **2** σπόρου X ¦ σπέρματος L | ἐξαγ β΄] μέρη α΄ P | ἐξαγ α΄] μέρη ἥμισυ P | τρίψας – 3 σὺν om. P | καλῶς δεῦσον om. X **3** μετʼ ὄξους X L | ὡς om. P ¦ καὶ L | γλοιῶδες ποιήσας transp. L | ποιήσας καὶ om. X | χρῖε P X | τόπον L | ὠφελεῖ L | δὲ om. X **4** πάθη χρῶ om. P | χρῶ om. X L

ρνζʹ Πρὸς χίμεθλα, ἡλκωμένα· ἐξαίρετον φάρμακον· ὥστε μηκέτι· [...lin 1...] ἔπειτα, 157
ἔλαιον κοινὸν καὶ ὀξούγγια ἀναλαβὼν καὶ κηρὸν τὸ ἀρκοῦν, ἐπίθες ἐν θυίᾳ, ὥστε γενέσθαι, πάνυ ὑγρὸν καὶ κηρώτιον· μίξας τοῖς φύλλοις λελειωμένοις καὶ ἑνώσας, ἔμπλασσε καὶ ἐπιτίθει, ἐν δὲ τῇ ἑψήσει, κίνει ἀγχούσῃ καὶ οὕτως σκευάσας, χρῶ.

ρνηʹ Πρὸς λειεντερικούς, τοὺς καθεζομένους ξέσματα: 158

Δαφνόκοκκα· πεπέρεως κοινοῦ· κυμίνου· μαστίχης, ἀνὰ ἐξαγ ἥμισυ· τρίψας καλῶς ὡς χνοῶδες, δίδου ἐξ αὐτοῦ κοχλιάριον αʹ· μετ᾽ οἴνου παλαιοῦ, πιεῖν· χρῶ.

ρνθʹ Πρὸς ψωρώδη καὶ ῥευματιζόμενα ἕλκη καὶ πρὸς μορίου φλεγμονὴν καὶ σκληρίαν· 159
κατάπλαττε τὸ τοιοῦτον· τὸ διὰ φακῆς καὶ τῶν στιμμάτων ἐπονομαζόμενον· ἔχει:

Φακῆν Ἀλεξανδρινήν· μύρτων καρποῦ καὶ ἐχίνων χλωρῶν· βάτου ἀκρέμονας· ῥόδων ξηρῶν· ῥοϊδίων λέπος, ἀνὰ οὐγγ γʹ· κόψας καλῶς, δεῦσον μεθ᾽ ὕδατος τὸ ἀρκοῦν καὶ ἕψε εἰς κύθραν καινὴν εἰς ἀποτρίτωσιν· εἶτα σταύρωσον καὶ λαβὼν ἐξ αὐτοῦ τοῦ ζωμοῦ· δεῦσον σὺν αὐτῷ, φακῆν κεκομμένην ὡς χνοῶδες· ὅσον οὐγγ γʹ καὶ μέλιτος Ἀττικοῦ καὶ ὄξους καὶ ἐλαίου ῥοδίνου τὸ ἀρκοῦν καὶ ποιήσας ὡς ἔμπλαστρον, ἔμπλασσε εἰς ῥάκος καὶ χλιάνας, ἐπίθες πρὸς ψωρώδη καὶ ῥευματιζόμενα ἕλκη· χρῶ, ὡς δόκιμον.

ρξʹ Πρὸς τραῦμα ἐν κνήμαις, χρόνιον καὶ ῥυπαρόν· ἔχει: 160

Κριθίνου ἀλεύρου· εἰς ὀξύκραμα ἑψήσας κατάπλαττε· καθαίρει τὸ τοιοῦτον καὶ συνάγει τὸ τραῦμα καὶ ὅτε εἰς ὀλίγον ἐνάγει, ἐπουλωτικὸν φάρμακον χρῶ·

---

**157, 1** ρνζʹ] οηʹ P | ὥστε μηκέτι om. L | post μηκέτι lac. unus lin. S L ¦ lac. dimidium lin. P **2** κοινὸν om. P ὀξύγγια X ¦ ἀξούγγιον L | ἀναλαβὼν] λαβὼν post ἔπειτα X ¦ post ἀρκοῦν L | κηροῦ X | τὸ ἀρκοῦν] ἑνώσας καὶ L | τὸ – ὥστε om. P **3** καὶ[1] om. X **4** διὰ τῆς ἀγχούσης L | ἀγχούσῃ – χρῶ om. X | καὶ[2] – χρῶ om. P **158, 1** ρνηʹ] οθʹ P | λειεντερικούς om. P | ὑπάγοντας L | post ξέσματα add. ἔχει P ¦ add. ἡ σύνθεσις X **2** κοινοῦ om. P X | ἀνὰ – ἥμισυ] ἴσα P | κόψας καὶ σήσας P | καλῶς – 3 χνοῶδες om. X | ὡς – 3 χνοῶδες] καὶ ποιήσας χνοώδη L **3** ἐξ αὐτοῦ om. P X | παλαιοῦ om. X | πιεῖν χρῶ om. P | χρῶ om. X πρωὶ νῆστις· εἰ δὲ τὸ πάθος κατεπείγει καὶ κατὰ πᾶσαν ὥραν L **159, 1** ρνθʹ] πʹ P | καὶ[2]] τοῦτο γὰρ καὶ P | μορίων add. αἱμόρρων L **2** τὸ τοιοῦτον om. P ¦ τοῦτο X | ὀνομαζόμενον X | ἡ σύνθεσις X **3** Φακῆς Ἀλεξανδρινῆς X L μύρτων καρποῦ transp. L | καρποῦ om. P X | ἐχίνων] σχοίνου sic! X | χλωροῦ X | βάτου ἀκρέμονας transp. L | ἀκρεμόνος X ¦ ἀκρεμόνων L **4** ξηρῶν om. X | λέπους X L | ἀνὰ – μεθ᾽ om. P | καλῶς om. X | τοῦ ἀρκοῦντος L **5** post ἕψε add. ὁμοῦ πάντα P ¦ ἕψει X | εἰς[1] – καινὴν om. X | εἰς[2]] ἕως L | εἰς[2] – 6 αὐτῷ] ἕως ἂν καλὸν ἑψηθῶσιν καὶ τὰς βοτάνας, ῥῖψον καὶ λείωσον τὴν P | ἀποτριτώσεως L | εἶτα – ζωμοῦ] καὶ σειρώσας X | σείρωσον L | τὸν τοιοῦτον X **6** μετὰ ζωμοῦ X ¦ μετ᾽ αὐτοῦ L | φακῆς X | κεκομμένην – γʹ] ἐν ὁλμῷ ἐπιμελῶς P | χνοώδη X ¦ οὖσαν καλῶς καὶ χνοώδη L | ὅσον om. X | καὶ[1] om. X | Ἀττικοῦ om. P X **7** ῥοδελαίου X | τὸ ἀρκοῦν om. L | ποιήσας – ἔμπλαστρον om. P X | ἔμπλασσον L **8** καὶ χλιάνας om. X καὶ[1] – πρὸς] χρῶ πρὸς μορίου φλεγμονὴν καὶ σκληρίαν καὶ P | χλιαίνων L | ἐπιτίθει add. ἐπιτίθει πρὸς μορίων φλεγμονήν καὶ σκληρίαν καὶ L | πρὸς – δόκιμον] χλιαρὸν X | χρῶ – δόκιμον om. P ¦ ἔστι γὰρ εἰς τὰ ταοιαῦτα πάν ὠφέλιμον L **160, 1** ρξʹ] παʹ P | τραύματα X | ῥυπαρά X | ἔχει om. X L **2** Κριθαλεύρου X ¦ Κρίθινον ἄλευρον L | ἄλευρον P | μετ᾽ ὄξους κράσεως add. μιᾶς ἑνώσας καὶ L | τὸ τοιοῦτον] γὰρ L | τὸ – 3 συνάγει] σὺν P **3** ἀγάγῃ X L | ἐπουλωτικῷ φαρμάκῳ X L

160a Ὁμοίως πευκεδάνου ῥίζας· κόψας καὶ σήσας καλῶς· ἐπίπασσε τῷ τραύματι καὶ καθαίρει πᾶσαν ῥυπαρίαν· σαρκοῖ καὶ συνάγει καὶ ἐπουλοῖ· δόκιμον γὰρ ἐστὶν διὰ πείρας· χρῶ.

161 ρξα΄ Πρὸς συνάγχας καὶ ὑπόγλωσσα· διὰ πείρας· ἔχει:

Ὀρίγανον ξηρὸν καὶ μάλιστα τὴν κιρράν· κόψας καὶ σήσας καλῶς, ἀναλάμβανε μετὰ μέλιτος Ἀττικοῦ ἀπηφρισμένου τὸ ἀρκοῦν καὶ οὕτως σκευάσας καλῶς, διάχριε.

162 ρξβ΄ Πρὸς σκορπιοδήκτους· πάνυ θαυμαστόν· ἔχει:

Λαβὼν γῆς ἔντερα καὶ λειώσας, ἐπίθες τῷ δήγματι καὶ ἶριν κόψας καλῶς, δὸς πιεῖν μετ᾽ οἴνου τὸ ἀρκοῦν ἢ ὄξους καὶ οὕτως χρῶ.

163 ρξγ΄ Πρὸς ἄφθας, τὰς ἐν στόματι τῶν παιδίων· ἔχει:

Ῥοὸς Συριακῆς· ὅσον τοῖς τρισίν δακτύλοις λαβεῖν· μίνθης, κλώνους γ΄· ῥόδων ξηρῶν, φύλλα ζ΄· στροβίλων σπέρμα, κοκκία ζ΄· ταῦτα λειώσας καλῶς, δεῦσον σὺν μέλιτι Ἀττικῷ τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς· χρῶ.

164 ρξδ΄ Πρὸς τὰς νομώδεις ἄφθας καὶ χαλεπὰ ἕλκη ἐν στόματι βαθέα γινόμενα καὶ ὅπου ἐπὶ πολὺ τὸ σίελον φέρεται· ἔχει:

Κηκίδιν καὶ στρύχνον, ἀνὰ οὐγγ α΄· κόψας καλῶς καὶ ὄξει σὺν δεύσας τὸ ἀρκοῦν, διάκλυζε.

165 ρξε΄ Πρὸς ποδαλγίαν διὰ πείρας καλόν· ἔχει:

Κόνυζαν βοτάνην· μελισσοφύλλου τῆς βοτάνης, ἀνὰ οὐγγ α΄· κόψας καλῶς καὶ ἐπίθες ἄνωθεν· τοῦτο γὰρ ἐστὶν δόκιμον·

---

**160a, 1** Ἄλλον add. ἐπὶ τ᾽ αὐτὰ P | κόψας καὶ transp. X | καὶ[1] – καλῶς om. X | καλῶς om. P | καθαίρει lac. 6 litt S **2** καὶ[1] om. X | ἀπουλοῖ L | δόκιμον – χρῶ om. P X | γὰρ – χρῶ] εἰς τὰ τοιαῦτα L **161, 1** ρξα΄] πβ΄ P post ὑπόγλωσσα add. πάθη L | θαυμαστὸν X | δόκιμον L **2** ξηρὸν – μάλιστα] καὶ μάλιστα τὸ ξηρὸν post κιρρὰν X | τὸ κιρρόν X L | καλῶς om. X | ἀναλάμβανε – 3 καλῶς] καὶ μέλιτι ἀναλαβὼν P **3** μέλιτι ἀττικῷ ἀπηφρισμένῳ τῷ ἀρκοῦντι L | Ἀττικοῦ om. X | οὕτως – καλῶς om. X | χρῖε X **162, 1** ρξβ΄] πγ΄ P σκορπιοπλήκτους P | πάνυ – ἔχει om. P ¦ ἐπαινετὸν X | ἔχει om. L **2** ἀναλαβὼν post ἔντερα P ¦ om. X | καὶ[1] om. X | ἴρινον μύρον P | post καλῶς add. καὶ σήσας P ¦ om. X **3** τὸ ἀρκοῦν om. P ¦ τοῦ ἀρκοῦντος L | καὶ – χρῶ om. P X L **163, 1** ρξγ΄] πδ΄ P | τὰς om. P | post ἐν add. τῷ X | στόμασι L | ἡ σύνθεσις X ¦γινομένας λαβὼν L **2** Ῥοῦ X | συριακοῦ X L | λαβεῖν om. P | κλωνία X **3** σπόρου X ¦ add. κεκαθαρμένον L | σπέρμα κοκκία om. P | ταῦτα om. P | ταῦτα – καλῶς] τρίψας X | καλῶς δεῦσον om. P | μετὰ L | μετὰ μέλιτος X μέλιτος ἀττικοῦ L **4** Ἀττικῷ om. X | Ἀττικῷ – καλῶς om. P | τοῦ ἀρκοῦντος L | καὶ – χρῶ om. X | χρῶ] ἐπίχριε τὸ στόμα L **164, 1** ρξδ΄] πε΄ P | post χαλεπὰ add. καὶ | ἕλκη – στόματι post βαθέα L | ἐν] τὰ ἐν τῷ X | γινόμενα om. P ¦ γιγνόμενα X **2** ἐπὶ om. X | ἔχει om. X L **3** κόψας – καὶ[2] om. P | καλῶς om. X | ὄξει σὺν transp. L | σὺν – ἀρκοῦν om. P ¦ βρέξας X | τῷ ἀρκοῦντι L **4** διάκλυζε postea add. unum praeceptum P ¦ διακλυζέτω add. ὁ πάσχων τὸ ἑαυτοῦ στόμα λ **165, 1** ρξε΄] πζ΄ P | διὰ – ἔχει] θαυμαστὸν X | καλόν om. P **2** Κονύζης X L | πόαν P ¦ om. X | τῆς βοτάνης om. X | πόας P | ἀνὰ – α΄] ἐξίσου P | post α΄ add. καὶ L καλῶς om. P | καλῶς καὶ om. X **3** ἐπίθες X | ἄνωθεν – δόκιμον om. P | τοῦτο] τοῦ ἀλγοῦντος τόπου L τοῦτο – δόκιμον om. X | γὰρ ἐστὶν transp. L | post δόκιμον add. εἰς ταῦτα ἀνακουφίζων τῶν ὀδυνῶν L

Ὁμοίως· λαβὼν ῥοᾶς ὁλοκλήρους ὄξυνα, βράσον ταῦτα μετ᾽ ὄξους, δριμυτάτου· ὥστε 165a
τὸ λέπος αὐτῶν, εἰς τέλος διαλυθῇ· εἶτα ὁλμοκοπήσας ὁλόκληρα ὥστε διαλυθῇ αὐτὸ τό πᾶν καὶ ποιήσας ὡς ζύμη, ἐπίπλαττε ἐν ὀθονίῳ καὶ ἐπίπλαττε ἄνωθεν χλιαρόν· τοῦτο ποιεῖ, πρωὶ καὶ ἑσπέρας· χρῶ.

ρξς΄ Πρὸς ἀλωπεκίαν διὰ πείρας δόκιμον· ἔχει: 166
Ἐχίνων θαλασσίων τὰ ὄστρακα· καύσας καὶ λειώσας καλῶς, δεῦσον σὺν στέατι ἀρκείῳ καὶ ἀναλαβών, χρῖε τὸν τόπον ὡς δόκιμον.

ρξζ΄ Ποδαλγικόν πότιμα· ἐν ἀρχῇ τοῦ παροξυσμοῦ χρώμενον· ὥστε αὐτῇ τῇ ἡμέρᾳ, 167
ἄπονον γίνεται καὶ ἑξῆς, προέρχεται ὑγιής, διὰ πείρας· ἔχει:
Ζιντζίβερι, γράμματα γ΄ καὶ ἥμισυ· ἁρμοδάκτυλον, λίτραν α΄, γράμματα γ΄· σκαμμωνέας, γράμματα β΄· κέρατον α΄· πεπέρεως κοινοῦ, κόκκους λε΄· κυμίνου, κοκκία, νγ΄· τὸ ζιντζίβερι κόψας καὶ σήσας οὕτως, στῆσον, σὺν τῷ ἑρμοδακτύλῳ·

Ὁμοίως καὶ τὴν σκαμμωνέαν λείωσον ἐν θυίᾳ ἐπιμελῶς καὶ ἐπίβαλε σὺν αὐτῷ, μέλιτος 167a
καλοῦ Ἀττικοῦ ὀλίγου καὶ οἴνου εὐκράτου, ὅσον κυάθους β΄ καὶ σκευάσας καλῶς, δίδου πιεῖν.

ρξη΄ Ποδαλγικόν ἔλιγμα, ἐν ἀρχῇ τοῦ παροξυσμοῦ· πάνυ θαυμαστὸν καὶ δόκιμον· ἔχει: 168
Λαβὼν κάσσυμα παλαιοῦ σεμιδαλίου ἢ καῦσον καὶ ποίησον ξηρίον·

Ὁμοίως καιωνίδας ξηράς, καῦσον καὶ ποίησον ξηρίον, ἀνὰ οὐγγ β΄· εἶτα, λάβε κορίου 168a
χυλὸν καὶ ὄξους δριμέος τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς· ὥστε μέλιτος ἔχειν τὸ πάχος,

---

η΄ Ὠτικὸν ἐπίθεμα· πρὸς ἤχους ἐν τοῖς ὠσίν· ἔχει: 8

Ἑλλεβόρου λευκοῦ· καστορίου, ἀνὰ ὁλκὴν α΄· κρόκου, ὁλκὴν α΄ καὶ ἥμισυ· νίτρου, ὁλκὰς γ΄· τρίψας ταῦτα καὶ σκευάσας καλῶς, ποίησον τροχίσκον καὶ ἐπὶ τῆς χρείας· ἀναλαβὼν καὶ λειώσας, μετ᾽ ὄξους τὸ ἀρκοῦν, δίδου ἐπὶ τῆς χρείας καὶ χρῶ. Ὡσαύτως, χρονίους δὲ ἤχους διαφορεῖ· λαβὼν εὐφόρβιον· σὺν κυπρίνῳ ἐλαίῳ τὸ ἀρκοῦν λειώσας καὶ χλιάνας καλῶς, δίδου ἐπὶ τῆς χρείας. Ὁμοίως· εἰ δὲ διὰ πολλὴν συναίσθησιν· τῶν ἀναδιδομένων ἀτμῶν ἢ πνευμάτων αἰσθάνονται· καστόριον καὶ κονίου σπέρμα· σύν ὄξει λεάνας καλῶς, ἔνσταζε κατὰ τοῦ ὠτὸς ἢ στρουθίου· κρόκου· καστορίου· ἀφρονίτρου· ἐλλεβόρου λευκοῦ, ἀνὰ οὐγγ α΄· τρίψας ταῦτα καλῶς καὶ λειώσας, σύν ὄξει τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, ποίησον τροχίσκον καὶ ἐπὶ τῆς χρείας, δίδου σὺν οἴνῳ τὸ ἀρκοῦν

---

**4** ἑλκώσι X ¦ ἑλκώσεων L | ξανθῆς om. P X | ζζ΄΄ P | οὐλκὴν X | post α΄ add. ἅτινα L | τρίψας – 5 δεῦσον om. P **5** καλῶς om. X | ὄξει X | καὶ – ἐλαίῳ post χρείας P | ῥοδελαίῳ X ¦ ῥοδίνου ἐλαίου L | τὸ ἀρκοῦν om. P ¦ τοῦ ἀρκοῦντος L | τὸ – διαλύσας om. X | καὶ ποίησον τροχίσκους L | διαλύσας om. P ¦ λειώσας L **6** ἔγχεε – χρῶ] ἔγχει κατὰ τοῦ ὠτός· ὁμοίως καὶ τὸν Ἄνδρωνης τροχίσκον καὶ τὸν Ἥρα καὶ τὸν Μοῦσα ἐπὶ τῆς χρείας διαλύσας ἔγχει. X L ¦ (τὸν ἶριν) L | οὕτως – χρῶ] τῷ ἀνωτέρω τροχίσκῳ καὶ τὸν ἶριν καὶ τὴν μοῦσαν χρῶ. P **7, 1** Ὠτικὸν – ἔχει] Ὡσὶν σκόλυκας διαφορεῖ P | post πρὸς add. τοὺς L | σκώλυκας L | τοὺς ἐν ὠσὶ σκώλυκας X | ἔχει om. X L **2** Ἀψινθίας ἀφέψημα transp. L | Ἀψινθίας – ἐγχυμάτιζε transp. P | ἔνσταζε om. P L | post καππάρεως add. ῥίζης τοῦ χυλοῦ καὶ P ¦ post χλωρῶν L **3** φύλλων – χλωρῶν transp. P | τῶν om. X | ἢ[1] – χυλόν om. P | τοῦ – χυλόν transp. L | post ἢ[2] add. τοῦ τῆς P | ἀνθρώπου – 4 παλαιοῦ post οὖτον P **4** τὸ om. X | ἔνσταζε X L | ἐπίσταζε – ὠτὸς om. P | λειώσας δεῦσον om. P | μετὰ μέλιτος X | μετὰ μέλιτος ἀττικοῦ L **5** Ἀττικῷ – ἀρκοῦν om. X | Ἀττικῷ – ὠτὸς om. P | τοῦ ἀρκοῦντος L | ἔγχει X | καλαμίνθης χυλὸν transp. L **6** λειώσας om. P | χυλὸν ἀψινθίας] τινὸς τῶν ὁμοίων P | ἔνσταζε P ¦ post ὠτίου L | ἐν L τῷ πόρῳ om. X **7** ὠτὸς X | ἔστιν δόκιμον om.; in margine φύλλων τοῦ ζωμοῦ σὺν ἄλλων ὅμοιων εἰ δὲ καὶ κηρὸν ἔμβαλλε κόστου ἐπὶ ἴσον καὶ χρῶ. P **8, 1** ἐπίθεμα πρὸς om. P | post πρὸς add. τοὺς L | ἤχους – ὠσίν transp. X | ἐν – ἔχει] θεραπεύει P | ἡ σύνθεσις X **3** τρίψας – καλῶς om. P | ταῦτα – καλῶς om. X | ποίει X **4** ἀναλαβὼν καὶ om. X | καὶ λειώσας om. L | ὄξει L | τὸ ἀρκοῦν om. X ¦ τῷ ἀρκοῦντι L | τὸ – χρείας om. P ἐπὶ – χρῶ om. X | καὶ χρῶ om. L | Ὡσαύτως om.; novum praeceptum; sine numero P ¦ τοὺς δὲ L **5** δὲ om. X L | λαβὼν om. P X | κυπρίνου ἐλαίου τοῦ ἀρκοῦντος post λειώσας L | τὸ ἀρκοῦν om. P X | λεάνας P ¦ λείωσον L | λειωθὲν καὶ χλιανθὲν X **6** θερμάνας P | καλῶς – χρείας] χρῶ. P ¦ om. X | post δίδου add. ἔνσταζε L | ἐπὶ – χρείας post καὶ L | Ὁμοίως om.; novum praeceptum; sine numero P | δὲ – 7 ἀναδιδομένων] αἰσθάνῃ τοὺς ἤχους , γίνεσθαι διὰ πλεονασμὸν τῶν ἀπὸ ὕλης L **7** αἰσθάνονται om. L καστορίου X **8** λειώσας X | τοῦτο P ¦ om. X | Ἄλλον; novum praeceptum; sine numero P **9** ἀνὰ – α΄] ἴσα P τρίψας – καὶ om. P | ταῦτα – λειώσας] δεύσας X | λειώσας – ἀρκοῦν] ὄξει λείε P | τῷ ἀρκοῦντι L | τὸ – 10 καλῶς om. X **10** σκευάσας καλῶς om. P | ἀνάπλασσε P ¦ ποίει X | ἐπὶ – χρείας om. X | ἐπὶ – δίδου] χρῶ P ¦ transp. L | ὄξει L | τὸ ἀρκοῦν om. P X ¦ τῷ ἀρκοῦντι L

ἐπὶ δὲ τῶν ἐκ νόσου ἤχων, ἀψινθίας ἀφεψήματι πυρίασον·ἢ ὄξος μετὰ ῥοδίνου ἐλαίου, ἔγχεε χλιαρά ἢ ῥαφάνου χυλόν, μετὰ ῥοδίνου ὁμοίως ἢ ἀλόην ξανθήν, τρίψας καλῶς καὶ δεῦσον μετ᾽ οἴνου καὶ μέλιτος τὸ ἀρκοῦν, ἐπίχεε· εἰ δὲ ἐπιμένει τὸ πάθος· ἐλλέβορον μέλαν ἑψήσας καὶ τρίψας καλῶς, δεῦσον μετ᾽ ὄξους τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς δίδου.

9 θʹ Ὠτικὸν ἐπίθεμα· πρὸς δυσηκοΐας καὶ κωφώσεως· θαυμαστὸν πάνυ καὶ δόκιμον· ἔχει:

Ἀσφοδέλου ῥίζαν· κόψας καλῶς καὶ ἐν ἐλαίῳ τὸ ἀρκοῦν ἑψήσας, εἰς ἀποτρίτωσιν, διάχριε τὸ ὠτίον ἔσωθέν τε καὶ ἔξωθεν· τοῦτο γὰρ ὠφελεῖ καὶ τάς χρονίους δυσηκοΐας· κάλλιστον δὲ καὶ σικύου ἀγρίου τῶν ῥιζῶν ἢ τῶν φύλλων τούτου ὁ ζωμός· ἤτοι ὁ χυλός· σὺν ὄξει τὸ ἀρκοῦν ἐγχεόμενα ἢ οὖρον αἰγὸς καὶ τὴν χολὴν αὐτῆς· μίξας ὁμοῦ καὶ ἅμα θερμάνας, ἐγχυμάτιζε ἢ εὐφόρβιον λελειωμένον καλῶς· δεῦσον μετὰ ἐλαίου κοινοῦ παλαιοῦ ἢ καστόριον μετὰ δαφνίδων ἢ ὄξους ἢ ἐλλέβορον μέλαν, σὺν ὄξει καὶ μέλιτι Ἀττικῷ τὸ ἀρκοῦν· λεάνας καὶ ἐπὶ πολλὴ ἑψώμενον καὶ ἀναλαβών, ποίησον κολλούρια βαλανοειδῆ, μικρά καὶ ἐντίθει, τῷ πόρῳ καὶ ἐᾷ ἐπὶ ἡμέρας γʹ τοῦτο· ὁμοίως, καρδαμώμου σπέρμα, ὅσον ἀρκεῖ καὶ νίτρῳ βραχὺ· σύκων λιπαρῶν καθαρῶν τῶν σαρκῶν, ἄνευ τῶν γιγάρτων, ἀναλαβών· κόψας καλῶς καὶ μαλάξας, ποίησον βαλάνια ἁρμόδια τῷ πόρῳ τῆς ἀκοῆς καὶ ἐντίθει κατὰ τοῦ ὠτὸς καὶ ἐᾷ ἐπὶ ἡμέρας γʹ· τοῦτο γὰρ ἄγει ῥύπον ἱκανὸν καὶ παραχρῆμα κουφίζονται αἱ ὀδύναι· ἐνίεται δέ, ἀντὶ τοῦ καρδαμώμου, τινὲς σίνηπι ἐπεμβάλλουσιν· ἐγχυμάτιζε δὲ καὶ παντὸς ἰχθύου χολὴν ὡς δόκιμον καὶ πέρδικος χολὴν ὁμοίως·

---

**11** νήσσου P | ὄξους P X | σὺν P | ῥοδίνῳ P | ῥοδελαίου X | ἐλαίου om. P **12** ἔγχει X | χλιαρά om. P ¦ χλιαροῦ X | ῥεφανίου P | σὺν X | ῥοδελαίου X ¦ add. ἐλαίου L | ὁμοίως om. P X | καλλίστην P ¦ om. X τρίψας – 13 δεῦσον om. P | καλῶς καὶ om. X **13** δεύσας X | οἰνομέλιτος P | τὸ ἀρκοῦν om. X ¦ τοῦ ἀρκοῦντος L | τὸ[1] – ἐπίχεε om. P | ἔγχει X | τὸ πάθος om. P **14** μέλανα X | ἑψήσας καὶ om. L | καὶ[1] – 15 δίδου] χρῶ. P | καλῶς[1] om. X | τοῦ ἀρκοῦντος L | τὸ – 15 δίδου] καὶ ἐπίθες X **9, 1** Ὠτικὸν – πρὸς] Ὤτων P δυσηκοΐαν L | κωφώσιν L | θαυμαστὸν post δόκιμον L | θαυμαστὸν – ἔχει om. P X **2** κόψας – καὶ om. P καλῶς om. X | εἰς ἔλαιον X | τὸ ἀρκοῦν om. P X ¦ τῷ ἀρκοῦντι L | εἰς – 3 ἔξωθεν] χρῶ· P **3** ὠφελεῖ post δυσηκοΐας L **4** ὁ ζωμὸς τῶν ῥιζῶν ἢ τῶν φύλλων τοῦ ἀγρίου σικύου L | ῥίζης X | τούτου – ἤτοι om. P X **5** τὸ ἀρκοῦν om. P X ¦ τῷ ἀρκοῦντι L | ἐγχεόμενος X | καὶ[1]] σὺν P | μίξας ὁμοῦ transp. P | ἅμα om. L **6** λειώσας X ¦ transp. L | λελειωμένον – δεῦσον om. P | κοινοῦ om. P | κοινοῦ – 7 παλαιοῦ om. X **7** καστορίου X | δαφνίνου L | ἢ[2]] καὶ X L | μετὰ μέλιτος ἀττικοῦ τοῦ ἀρκοῦντος καὶ ὄξους **8** Ἀττικῷ – ἀρκοῦν om. P X | λειώσας L | πολὺ L | πολὺ ἑψήσας X | ἑψημένου P ¦ ἑψήσας L | κολλύρια L **9** τρεῖς P L τοῦτο om. X | Ἄλλον; novum praeceptum; sine numero P **10** σπόρου X | post ὅσον add. τῇ χρείᾳ L | ὅσον ἀρκεῖ om. X | νίτρον P L | νίτρου ὀλίγου X | λιπαρῶν – 11 σαρκῶν om. X | καθαρῶν om. P ¦ κεκαθαρμένων L | σάρκας post βραχὺ L **11** χωρὶς τῶν κεχραμίδων P ¦ ἀγιγάρτων X | κόψας – μαλάξας om. P | καλῶς καὶ om. X **12** κατὰ – ὠτὸς om. P ¦ κατὰ τῷ ὠσὶν L **13** παραχρῆμα κουφίζονται transp. L | κουφίζεται P ¦ κουφίζει add. τὸν πάσχοντα L | αἱ ὀδύναι om. P **14** τινὲς om. P | ἐμβάλουσιν X L | ἰχθύον X L

Ὡσαύτως· Ἐλελισφάκου χυλόν μετ᾽ ἐλαίου ὀμφακίνου τὸ ἀρκοῦν χλιάνας μαλθακῷ 9a
πυρί ἔνσταζε ἢ ἐχίνου χερσαίου χολὴν ἔνσταζε εἰς τὸ οὖς·

Ὡσαύτως· Ἑλλεβόρου λευκοῦ, ὁλκὰς δ΄· καστόριν, ὁλκὰς β΄· ἀφρονίτρου, ὁλκὴν α΄· 9b
τρίψας καλῶς, δεῦσον μετὰ ὄξους τὸ ἀρκοῦν χρῶ δὲ καὶ τὸν διὰ τῶν πικρῶν ἀμυγδάλων τροχίσκον· ταῦτα ἤγουν· Ἀμυγδάλων πικρῶν, ὁλκὰς β΄· πεπέρεως λευκοῦ· κυάμων Αἰγυπτίων, τὸ ἐντὸς τούτων· κρόκου· σμύρνης· ὀπίου· λιβάνου· καστορίου, ἀνὰ ὁλκὰς β΄· ὀμφακίου· χαλκάνθου, ἀνὰ ὁλκὰς β΄· τρίψας ταῦτα καλῶς, ζύμωσον μετ᾽ ὄξους ἐν ἀφεψημένων ἐν αὐτῷ, σιδίων καὶ ἀναλάμβανε τὸ φάρμακον, ὡς ἔχειν γλοιοῦ πάχος· εἰ δὲ καὶ βούλει, πλάττε τροχίσκους καὶ ξήραινε ἐν σκιᾷ καὶ ἐπὶ τῆς χρείας λαβὼν τὸ αὔταρκες ἐκ τοῦ φαρμάκου καὶ μύρῳ ἀνέσας ἢ ναρδίνῳ τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, ἐγχυμάτιζε καὶ οὕτως χρῶ ὡς δόκιμον.

ι΄ Ὠτικὸν ἐπίθεμα, πρὸς τὰ ἐν ὠσὶ σαρκώματα καὶ ὑπερσαρκοῦντα ἐν τοῖς ὠσὶν ἕλκη· 10
ἔχει:

Φοῦ, ὁλκὰς η΄· λεπίδος χαλκοῦ, ὁλκὰς δ΄· τρίψας ταῦτα καλῶς, δεῦσον μετὰ μέλιτος Ἀττικοῦ, κοχλιαρίου ἥμισυ ἢ τὸ ἀρκοῦν καὶ μαλάξας καλῶς, ἕψε· ἕως ἐρυθρὸν γενέσθαι καὶ ἀνελόμενον, χρῶ· ἐντιθὼν κατὰ τοῦ ὑπερέχοντος τόπου·

Ὁμοίως· Ἰοῦ· χαλκάνθου, ἀνὰ ὁλκὰς δ΄· πρασίου χυλόν, κυάθους γ΄· τρίψας καλῶς, 10a
δεῦσον μετὰ μέλιτος Ἀττικοῦ τὸ ἀρκοῦν καὶ οὕτως σκευάσας καλῶς χρῶ, ὡς τὰ προειρημένα.

ια΄ Ὠτικὸν ἐπίθεμα, Ἀπολλωνίου Μεμφίτου· πρὸς τὰ ἐν ὠσὶ σαρκώματα· θαυμαστόν, 11
καταστέλλει δὲ καὶ πᾶσαν ὑπερσάρκωσιν· χωρὶς πόνου· ὡς θαυμαστὸν καὶ δόκιμον· ἔχει:

Στυπτηρίας σχιστῆς· μίσυος κεκαυμένης, ἀνὰ οὐγγ β΄· ἰοῦ· Λημνίας σφραγῖδος· κόμμεως, ἀνὰ οὐγγ α΄· τρίψας ταῦτα καλῶς, δεῦσον μετὰ ὄξους τὸ ἀρκοῦν καὶ

---

**9a, 1** Ὡσαύτως] Ἄλλον ὅμοιον; novum praeceptum; sine numero P | τὸ ἀρκοῦν om. P X ¦ τοῦ ἀρκοῦντος L post χλιάνας add. ἐν P L | μαλθακῷ – 2 πυρί om. X **2** ἔνσταζε[1] – χολήν om. L | εἰς – οὖς om. X **9b, 1** Ὡσαύτως] Ἄλλον; novum praeceptum; sine numero P | καστορίου P X L **2** τρίψας – δεῦσον] χρῶ P καλῶς om. X | μετ᾽ X | καλλίστου P ¦ om. X ¦ τοῦ ἀρκοῦντος L | τῷ X L **3** τροχίσκῳ X L | σὺν ὀξυμέλιτι· ἔχει: P ¦ σὺν ὀξομέλιτι X L ¦ add. ἡ δὲ τούτου τοῦ τροχίσκου σκευασία, ἔχει οὕτως L | κυάμου αἰγυπτίου P **4** τὸ μέγεθος ἢ ὁλκὰς β΄· λεπτοκάρυα P | τούτων om. X L | ζζ΄΄ P **5** post ὁλκὰς add. δ΄· ἀφρονίτρου ὁλκὰς P X L ταῦτα – ζύμωσον] δεῦσον X | ἀφεψηθέντων X | ἐν ᾧ προεψήθησαν L **6** σίδια L | τὸ – πάχος] δι᾽ αὐτοῦ τὰ εἰρημμένα εἴδη τετριμμένα ὄντα ποίησον ἔχει ὡς γλοιοῦ πάχος L | ἔχειν om. X **7** καὶ[1] om. X | ἀνάπλαττε P ¦ ποίει X | post τροχίσκους add. ἐξ αὐτοῦ L | λαμβάνων L | λαβὼν – 8 καὶ[1] om. X **8** καὶ λεαίνων L | καὶ[1] – ἀνέσας] μετὰ μύρου L | ναρδίνου τοῦ ἀρκοῦντος L | τὸ – καλῶς om. P X | σκεύαζων L **9** καὶ – δόκιμον om. P X ¦ χρῶ L **10, 1** Ὠτικὸν – ἐν[1] om. P | σαρκοῦντα P | post ὠσὶν L | om. X **2** ἡ σύνθεσις X **3** Ἰοῦ X ¦ Ὠοῦ L | τρίψας – μετὰ om. P | ταῦτα καλῶς om. X **4** Ἀττικοῦ om. P ¦ add. ὅσον L | Ἀττικοῦ – ἀρκοῦν om. X τὰ ξηρὰ λειότατα ποιήσας καὶ μέλιτι ἀναλαβὼν P | καλῶς om. X | ἕψει X | post ἕως add. οὗ X | γένηται X L **5** χρῶ om. X L | ἐπιτίθει L **10a, 1** Ἄλλον P | Φοῦ P | χυλοῦ πρασίου L | χυλοῦ X | τρίψας – 2 μετὰ om. P καλῶς om. X **2** Ἀττικοῦ – οὕτως] τὸ ἱκανὸν P | Ἀττικοῦ – καλῶς om. X | τοῦ ἀρκοῦντος L | σκευάζε P καὶ P **11, 1** Ὠτικὸν ἐπίθεμα om. P | post Ἀπολλωνίου add. τοῦ L | ὑπερσαρκώματα L | θαυμαστόν om. X θαυμαστόν – 2 καὶ[1]] συστέλλει γὰρ θαυμασίως L **2** καταστέλλει – ὑπερσάρκωσιν om. X | ὡς – δόκιμον om. P X | ὠφέλιμον καὶ δόκιμον post Μεμφίτου L | ἡ σύνθεσις X **3** κεκαυμένου L | post ἰοῦ add. λιβάνου P **4** ὄξει λεῖε P | ταῦτα καλῶς om. X | τὸ ἀρκοῦν om. X ¦ τοῦ ἀρκοῦντος L

ἀνάπλαττε τροχίσκους· ἐπὶ δὲ τῆς χρείας, τρίψας ἐξ αὐτῶν ὅσον βούλει· δεῦσον μεθ’ ὕδατος ἢ οἴνου τὸ ἀρκοῦν καὶ δίδου· τοῦτο δὲ καταστέλλει καὶ ἐπουλοῖ ποιεῖ καὶ πρὸς μυκτῆρας, ἑλκομένας· ἐξ οἱασδήποτε αἰτίας, πάνυ ἔστιν δόκιμον.

12 ιβʹ Ὠτικὸν ἐπίθεμα, πρὸς τὰς δυσμεταβλήτους φλεγμονάς, ἡ διὰ χυλοῦ· ἐκπυοῖ γὰρ ταχέως· ἔχει:

Κολοκύνθης ξυσμάτων χυλοῦ· καλάμου τῶν τρυφερῶν φύλλων· ὑοσκυάμου φύλλων· περδικίου καὶ κράμβης φύλλων, ἀμφοτέρων τοῖς χυλοῖς, ἀνὰ κυάθου αʹ· νίτρου ὀπτοῦ· σμύρνης· κρόκου, ἀνὰ ὁλκὰς δʹ· νάρδου μύρου, οὐγγ αʹ· στυπτηρίας ὑγρᾶς· ὄξους σκιλλιτικοῦ, ἀνὰ οὐγγ βʹ· τρίψας ταῦτα καλῶς, δεῦσον μετὰ μέλιτος Ἀττικοῦ, λίτρ αʹ καὶ σκευάσας καλῶς, ἀπόθου, ἐν ὑελίνῳ ἀγγείῳ· ἐπὶ δὲ τῆς χρείας, ἀνέσας μετὰ νάρδου μύρου ἢ ῥοδίνου ἐλαίου τὸ ἀρκοῦν καὶ οὕτως χρῶ.

13 ιγʹ Ὠτικὸν ἐπίθεμα, πρὸς τὰς χρονιζούσας καὶ δυσμεταβλήτους φλεγμονὰς τῶν ὤτων· ἔχει:

Χαλβάνην· στέατος ταυρείου, ἀνὰ ὁλκὰς δʹ· κηροῦ καθαροῦ· κολοφωνίας· σάπωνος, ἀνὰ ὁλκὰς γʹ· πίσσης, ὁλκὴν αʹ· προτήξας τὴν κολοφωνίαν· τὸ στέαρ· τὴν πίσσαν καὶ ἐπίβαλε τὴν χαλβάνην μετὰ τοῦ κηροῦ· προμεμαλαγμένα· ἔπειτα, τὸν σάπωνα καὶ διηθήσας μεθ’ ὕδατος καλῶς, ἐπ’ ἀκόνης· δεῦσον σὺν ἐλαίῳ τὸ ἀρκοῦν καὶ μετὰ τὸ παῦσαι τῆς φλεγμονῆς, ὕστερον, ἔγχεε εἰς τὸ οὖς· ὁμοίως· καστόριον οὐγγ ἥμισυ· τρίψας καλῶς, δεῦσον μετ’ ἐλαίου τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς, δίδου ἐπὶ τῆς χρείας· λύειν μηχανωμένους, τὴν ἐκ τῆς κακώσεως βλάβην καὶ οὕτως χρῶ.

14 ιδʹ Ὠτικὸν ἐπίθεμα, πρὸς τὰς κατὰ μικρὸν περιωδυνίας· ἔστι πάνυ δόκιμον· ἔχει:

Ἀλόην ξανθήν, τρίψας καλῶς, δεῦσον μετὰ μέλιτος καὶ οἴνου τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς ἔνσταζε ἐξ αὐτοῦ, εἰς τὸ οὖς·

---

**5** ἀνάπλαττε ποίει X | ἐπὶ – 6 ὕδατος] καὶ χρῶ σὺν ὕδατι P | ἐξ – δεῦσον om. X **6** οἴνῳ P | τοῦ ἀρκοῦντος L | τὸ – δίδου] ἐπίθες X | τὸ – δὲ om. P | δὲ om. X | ἐπουλεῖν L | ποιεῖ om. X **7** ἡλκωμένους X | πάνυ – δόκιμον om. P | ἔστιν om. X | post δόκιμον add. ὥστε χρῶ θαρρῶν L **12, 1** Ὠτικὸν ἐπίθεμα om. P | τὸ L post χυλοῦ add. ὅπερ L | γὰρ om. L **2** ἡ σύνθεσις X **3** Κολοκύνθης – χυλοῦ transp. L | ξυσμάτων χυλοῦ transp. P | καλάμου – φύλλων[1] transp. L | post ὑοσκυάμου add. τοῦ χυλοῦ τῶν P | ὑοσκυάμου φύλλων transp. L | post φύλλων[2] add. τὸν χυλὸν τούτων L **4** post περδικίου add. χυλοῦ P | φύλλων – χυλοῖς] χυλοῦ P | ἀμφοτέρων om. X | τοὺς χυλοὺς X L **5** ζζʹʹ P | post ὑγρᾶς add. οὐγγ βʹ P **6** ἀνὰ om. P | τρίψας – μετὰ om. P | ταῦτα καλῶς om. X | καλλίστου P ¦ om. X ¦ add. τοῦ ἀρκοῦντος L **7** ἀναλαβὼν P | καὶ – ἀγγείῳ om. X **8** μύρου om. P | ῥοδελαίου X | ἐλαίου – οὕτως om. P | τοῦ ἀρκοῦντος L | τὸ – οὕτως om. X | καὶ οὕτως om. L **13, 1** ιαʹ P | Ὠτικὸν ἐπίθεμα om. P | τῶν ὤτων om. X **2** ἡ σύνθεσις X **3** Χαλβάνης L καθαροῦ om. P X **5** προμεμαλαγμένην X **6** post διηθήσας add. χρῶ· χρῶ δὲ τοῦτο· P | καλῶς om. P X δεῦσον] ἢ P | μετ’ ἐλαίου L | τοῦ ἀρκοῦντος L | τὸ[1] – 7 οὖς om. P | τὸ[1] – 8 χρείας om. P **7** τὴν φλεγμονὴν X L | ἔγχει X | καστορίου L **8** καλῶς[1] om. X | τοῦ ἀρκοῦντος L | τὸ – 9 χρῶ] καὶ ἔγχει. X **9** μηχανώμενος L | καὶ – χρῶ om. P L | χρῶ postea in margine praecepti sine numero Πρὸς τὰ χωρικὸν ἕλκην καθυγραινόμενα ὦτα καὶ οἷον δ’ ἰδροῦντα καὶ ὀροειδεῖς ὑγρὸν ἐκφέροντα ἥμισυ ἐν ὀθονίῳ ἀνωδύνως καὶ κρύψας ἄνθραξιν καὶ καύσας καὶ λεάνας ἅμα τῷ συγκαύματι ὀθονίῳ, ἐμφύσα δὲ καλάμῳ ἢ κηκίδων λεάνας καὶ ἐνεδύσας ὀθονίῳ καίε καὶ χρῶ· ὁμοίως ἢ στυπτηρίας ὀπτήσας ἐπ’ ὀστράκῳ καὶ λεάνας ἔλαιον προέγχριε ἐμφύσα. P **14, 1** ιδʹ] ιβʹ P | Ὠτικὸν ἐπίθεμα om. P | post περιωδυνίας add. ὤτων· P | ἔστι om. L | ἔστι – δόκιμον om. P | ἔστι – ἔχει om. X | ἔχει om. L **2** καλλίστην P ¦ om. X | τρίψας – μετὰ om. P | καλῶς om. X | οἰνομέλιτος P | τοῦ ἀρκοῦντος L | ἀνέσας P ¦ καὶ X **3** ἐξ αὐτοῦ om. L | ἐξ – οὖς om. P X

Ὁμοίως· ἔρια οἰσυπηρά· ζέσας σὺν ὄξει· ἐγχυμάτιζε εἰς τὸ οὖς καὶ αὐτὸ τὸ ἔριον, ἐπιτίθει 14a
ἄνωθεν· εἰ δὲ πραότερον αὐτῷ βούλει ποιῆσαι, μετὰ ἑψήματος καὶ ὄξους, ἀφέψει τὰ ἔρια καὶ οὕτως χρῶ.

ιεʹ Ὠτικὸν ἐπίθεμα πρὸς ἕλκη ἐν τῷ πόρῳ τοῦ ὠτός, πάνυ δόκιμον καὶ θαυμαστόν· ἔχει: 15
Ὅσα μὲν πρόσφατα τῶν ἑλκῶν, τότε γλαύκιον ἐκθεραπεύει μόνον, ἀποτριβόμενον μετ᾽ ὄξους καὶ τὰ δι᾽ αὐτοῦ, κολλούρια πάντα· τάττε, κολλούρια, διά κρόκου καὶ τὰ διὰ ῥόδα καλούμενα· θεραπεύει δʹ αὐτά καὶ τὸ Δημοκράτους, διάσμυρνον· τὰ δὲ πυορροοῦντα χωρὶς ὀδύνης· θεραπεύειν διὰ τῶν τροχίσκων· ὁποῖος ἐστὶν καὶ ὁ τοῦ Μοῦσα καὶ ὁ τοῦ Ἄνδρωνος· νικώμενος δὲ καὶ τούτων, σκωρίαν σιδήρου· δι᾽ ὄξους δριμυτάτου· λεάνας ἐν ἡλίῳ· τοὺς ὑπὸ κύνα καύμασιν ἀνάπλαττε τροχίσκους καὶ χρῶ· μετ᾽ ὄξους εἰ δὲ οὐκ εἰσὶν τὰ κυνοκαύματα· τὴν σκωρίαν τοῦ σιδήρου, λειοτάτην ποιήσας καὶ λεάνας σὺν τῷ ὄξει· ἕψε ἐπ᾽ ἀνθρώπων καλῶς· ἄχρις ἄν ξηρανθῇ καὶ οὕτως σκευάσας καλῶς, χρῶ μετὰ ὄξους, ὡς δόκιμον.

ιςʹ Ὠτικὸν ἐπίθεμα, Ἀπολλωνίου· πρὸς τὰς ἑλκώσεις τῶν ὤτων, τοιαῦτα γράφει· ἔχει: 16
Οἰνόμελι θερμῷ, συνεχέστερον ἔγκλυζε ἢ μυρσίνην ἕψε, σὺν τῷ οἴνῳ καὶ χρῶ· εἰ δὲ καὶ δυσῶδες εἴη τὸ φερόμενον· σιδίων ῥοὰς καὶ φακῆν ἑψήσας σὺν οἴνῳ καλῶς· διάκλυζε χλιαρῷ·

Ὁμοίως· Στυπτηρίαν σχιστήν· λεάνας μετὰ ἑψήματος καὶ ὄξους, ἕψε ἐπὶ θερμοσποδιᾷ· 16a
ἕως σχῇ, ὡς μέλιτος πάχος· ποιεῖ δὲ καὶ πᾶσαν στυπτηρίαν· μετὰ πολυγόνου χυλόν ἢ στυπτηρίαν σχιστήν· κρόκου· κηκίδων, ἀνὰ οὐγγ ἥμισυ· τρίψας ταῦτα καλῶς, δεῦσον σὺν οἴνῳ αὐστηρῷ τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς χρῶ.

ιζʹ Ὠτικὸν ἐπίθεμα· πρός τε ὀδύνας μεγάλας καὶ πύον λευκόν· πάνυ καλόν· ἔχει: 17
Ἀμύγδαλα πικρὰ λελεπισμένα, καʹ· ἀφρονίτρου λευκοῦ· λιβάνου· ὀπίου, ἀνὰ ὁλκὰς γʹ· κρόκου, ὁλκὰς δʹ· χαλβάνην, ὁλκὰς βʹ· σμύρνης, ὁλκὴν αʹ· ἀλόης ξανθῆς, ὁλκὰς δʹ·

---

**14a, 1** Ἄλλον P | ἔριον οἰσυπηρόν P | μετ᾽ ὄξους L | εἰς – οὖς om. P | ἐπίθες X ¦ ἐπιτίθει L | ἐντίθει εἰς οὖς P **2** αὐτὸ X L | αὐτόβουλ<ον> X | ἕψε L | τὸ ἔριον P **3** καὶ – χρῶ om. P X | οὕτω add. ποιήσας L **15, 1** Ὠτικὸν ἐπίθεμα om. P | post ὠτός add. γινόμενα L | πάνυ – ἔχει om. P X | ἔχει om. L **2** ἕλκη πρόσφατα add. ἐν τῷ πόρρῳ τοῦ ὠτός· P **3** τάττε – 4 αὐτά om. P | κολλούρια[2]] καλούμενα L | κολλούρια[2] – κρόκου transp. X | διάκροκα L | διάροδα L **4** post καλούμενα add. κολλούρια L | διάσμυρνον L **5** post θεραπεύειν add. δεῖ X **6** νικωμένους L | ὑπὸ τοῦ πάθους καὶ τοὺς τοιούτους τροχίσους, λαβὼν L | λείωσον μετ᾽ L **7** λεάνας om. L | ἐν ἡλίῳ post καύμασιν L | τοῖς X **8** δὲ] ἐν καιρῷ τῆς χρείας L | ἐν τοῖς κυνοκαύμασιν P **9** λεάνας P X L | μετ᾽ ὄξους L | ἕψει X | ἀνθράκων X | ἕως οὗ X | οὕτω L | οὕτως – 10 καλῶς om. P **10** λειώσας X | καλῶς om. X | ὡς δόκιμον om. P X **16, 1** ιςʹ sine numero P | Ὠτικὸν ἐπίθεμα om. P Ἀπολλώνιος δὲ P ¦ post ὤτων X | τοιαῦτα – ἔχει om. X ¦ δόκιμον L | ἔχει om. P **2** οἰνομέλιτι P | θερμὸν X L ἔγκυζε L | ἕψει X | τῷ om. P **3** ἐκφερόμενον L | καλῶς om. P X **4** χλιαρὸν X L **16a, 1** Ἄλλον κάλλιστον εἰς τὸ αὐτὸ P | λεάνας X ¦ λειώσας L | ἕψει X **2** ἕως σχῇ om. X | ὡς om. L | post πάχος add. καὶ χρῶ P L ¦ add. ὅμοίως L | πολυγόνου χυλοῦ transp. L | χυλοῦ X | ἄλλον P **3** στυπτηρίας σχιστῆς X | ἀνὰ – ἥμισυ] ἴσα P | τρίψας – δεῦσον om. P | ταῦτα om. L | ταῦτα καλῶς om. X **4** μετ᾽ οἴνου αὐστηροῦ L | τοῦ ἀρκοῦντος L | τὸ – καλῶς om. X | τὸ – χρῶ om. P **17, 1** ἐπίθεμα om. P | πάνυ καλόν om. X ¦ post ἐπίθεμα L | πάνυ – ἔχει om. P | ἡ σύνθεσις X **2** Ἀμυγδάλων πικρῶν λελεπισμένων X **3** ζζʹʹ P | ξανθῆς om. P X

τρίψας ταῦτα καλῶς, δεῦσον σὺν ὄξει τὸ ἀρκοῦν καὶ ἀναλαβών, ποίησον τροχίσκους καὶ χρῶ· ὀδύνης μὲν οὔσης· δι᾽ ἧς πυορροούντων, δίδου σὺν οἰνομέλιτι καὶ ὄξει ἢ μετὰ ἑψήματος· δυσηκοΐας δὲ οὔσης, δίδου σὺν ὄξει·

17a Ὁμοίως δὲ πρὸς τὰς χρονίας ἑλκώσεις· δίδου:

Ἀλόης, λιβάνου· σμύρνης, ἀνὰ ὁλκὰς δ΄· μίσυος, ὁλκὰς β΄· τρίψας καλῶς, δεῦσον μετ᾽ ὄξους τὸ ἀρκοῦν καὶ ἀνάπλαττε τροχίσκους· ἐπὶ δὲ τῆς χρείας, ἀνεὼν ἐξ αὐτοῦ· δεῦσον σὺν ὄξει καὶ ῥοδίνῳ ἐλαίῳ τὸ ἀρκοῦν καὶ σκευάσας καλῶς δίδου ἐπὶ τῆς χρείας ὡς δόκιμον.

18 ιη΄ Ὠτικὸν ἐπίθεμα· πρὸς δυσωδίας ὤτων καὶ πρὸς φθείρας πάνυ δόκιμον· ἔχει:

Προκλύσας τῷ ἀφεψήματι τῶν σιδίων καὶ φακῆς ὡς προείρηται, χρῶ· τῆς ὑπογεγραμμένης στυπτηρίας Μιλησίας, λίτρ α΄· χαλκάνθου· σμύρνης· ἀλόης ξανθῆς· κροκομάγματος, ἀνὰ ὁλκὰς η΄· τρίψας καλῶς, δεῦσον μετ᾽ οἴνου γλυκέος μυρτίτου· λίτρ δ΄ καὶ ἥμισυ· ἕψε τὴν στυπτηρίαν μετὰ τοῦ γλυκέος καὶ ὅταν συστῇ· ἐπίβαλε τὰ λοιπὰ εἴδη κεκομμένα καλῶς· σὺν ὄξει προλειώσας καὶ ἑνώσας καλῶς, χρῶ· μετὰ ἑψήματος καὶ ὄξους καὶ οὕτως, χρῶ.

19 ιθ΄ Ὠτικὸν ἐπίθεμα, πρὸς τὰ πυορροοῦντα καὶ δυσώδη· πάνυ καλὸν καὶ δόκιμον· ἔχει:

Ἄρκου χολήν, ἔνσταζε εἰς τὸ οὖς· εἰ δὲ καὶ ξηρὰ εἴη· ἀνέσας μετ᾽ ὄξους καὶ ἑψήματος τὸ ἀρκοῦν· ἄκρως γὰρ ποιεῖ, ἡ Αἰγυπτία καὶ οὕτως χρῶ.

20 κ΄ Ὠτικὸν ἐπίθεμα, πρός τε ὀδύνας μεγάλας καὶ πύον λευκόν· δόκιμον καὶ θαυμαστόν· ἔχει:

Ἀμυγδάλων πικρῶν, λελεπισμένων· πεπέρεως λευκοῦ· κυάμων Αἰγυπτίων τὸ ἐντός· κρόκου· σμύρνης· ὀπίου· λιβάνου· καστορίου, ἀνὰ ὁλκὰς β΄· ὀμφακίου· χαλκάνθου, ἀνὰ ὁλκὰς δ΄· ἀφρονίτρου, ὁλκὰς δ΄· τρίψας, ταῦτα καλῶς, δεῦσον μετ᾽ ὄξους ἐν ᾧ ἀφέψηται

---

**4** τρίψας – σὺν om. P | ταῦτα καλῶς om. X | δεύσας X | μετ᾽ ὄξους L | λύεις P ¦ τοῦ ἀρκοῦντος L | τὸ – ἀναλαβών om. X | καὶ ἀνάπλασον P | ποίει τροχίσκου X | post καὶ$^{2}$ add. ἀνελόμενον P | καὶ$^{2}$ – 5 χρῶ om. X **5** ὀδύνης] καὶ γὰρ P | δι᾽ ἧς] τοῖς L | πυορροοῦνται X ¦ πυορροῦσι L | δίδου om. X | δίδου σὺν] μετ᾽ P | καὶ] ἢ P | ἢ] καὶ P | σὺν ἑψήματι L **6** δίδου om. P X **17a, 1** Ἄλλον P | χρονίους | ἔχει P ¦ om. X **2** ζζ΄΄ P ὁλκὰς$^{1}$] οὐλκὰς X | ὁλκὰς$^{2}$] οὐλκὰς X | τρίψας – μετ᾽ om. P | καλῶς om. X **3** τὸ ἀρκοῦν om. X ¦ τοῦ ἀρκοῦντος L | τὸ – καὶ om. P | ποίει X | τροχίσκους – χρείας] καὶ χρῶ P | λαβὼν L | ἀνεὼν – αὐτοῦ om. X | ἐξ – δεῦσον om. P | αὐτῶν L | δεύσας X | τὸ ἀρκοῦν τῇ χρεία καὶ λειώσας μετ᾽ ὄξους L **4** καὶ$^{1}$ om. P ῥοδελαίῳ X ¦ ῥοδίνου ἐλαίου L | ἐλαίῳ – 5 δόκιμον om. P | τοῦ ἀρκοῦντος L | τὸ – 5 δόκιμον] χρῶ X | καὶ$^{2}$ – καλῶς om. L | ἐπὶ – 5 δόκιμον om. L **18, 1** Ὠτικὸν – πρὸς$^{1}$ om. P | δυσωδίας – καὶ transp. post φθείρας P καὶ – ἔχει om. X | σήψεις L **2** τοῖς ἀφεψήμασι L | ὡς προείρηται om. L | τῶν ὑπογεγραμμένων L **3** ὑπογεγραμμένης] τοῦτοις οἷον X | ζζ΄΄ P | ξανθῆς om. P X **4** τρίψας – μετ᾽ om. P | καλῶς om. X | δεύσας X | λίτρ – 5 ἥμισυ] ξέστας γ΄ P **5** ἕψει X **6** εἴδη – σὺν om. P | καλῶς$^{1}$ om. X | λελειωμένα L | σκευάσας L καλῶς$^{2}$ om. P X **7** καὶ – χρῶ om. P X L **19, 1** Ὠτικὸν ἐπίθεμα om. P | post δυσώδη add. τῶν ὤτων L | πάνυ – ἔχει om. P X **2** Ἄρκτου L | εἰς – οὖς om. P X | ᾗ L | δεῦσον X **3** μετὰ χρῶ P | τὸ – ποιεῖ] τοῦ ἀρκοῦντος ἔγχεε εἰς τὸ οὖς ἄκρως γὰρ ὠφελεῖ ὁμοίως δὲ ὠφελεῖ καὶ L | τὸ – χρῶ om. X | καὶ – χρῶ om. L **20, 1** Ὠτικὸν ἐπίθεμα om. P | Ὠτικὸν – θαυμαστόν] Πρὸς τὰς προειρημένας πάσας διαθέσεις κανὲν ὅσιν, σὺν γεγενημένον P | δόκιμον – θαυμαστόν om. X | καλὸν L **2** ἡ σύνθεσις X **3** λελεπισμένων – 8 χρῶ] καὶ προέγραψον ὁ τοιοῦτος τροχίσκος ὁ διὰ τῶν πικρῶν ἀμυγδάλων κατονομαζόμενος, προβραχῇ. P **5** ταῦτα καλῶς om. X

σίδια, τὸ ἀρκοῦν καὶ ἀναλάμβανε τὸ φάρμακον, ὡς ἔχειν γλοιοῦ πάχος· ἐπὶ δὲ τῆς χρείας λαβὼν ἐξ αὐτοῦ τοῦ φαρμάκου· ὅσον χρεία δέει· δεῦσον μετὰ μύρου ἢ ναρδίνου ἐλαίου τὸ ἀρκοῦν, ἐγχυμάτιζε καὶ χρῶ.

καʹ Ὠτικὸν ἐπίθεμα· πρὸς τοῖς ἐν ὠσὶν σκώληκας· ἔχει: · 21

Τοὺς δὲ γεννηθέντας σκώληκας ἐν ὠσὶν ἢ ἔξωθεν ἐμπεσόντας, ἀποκτεῖναι θέλων· τὰ πικρὰ καὶ τὰ δριμέα καθ' ὅλου· οἷον· καππάρεως φύλλων χυλόν ἢ κεδρέαν ἢ οὖρον ἀν<θρώπ>ου παλαιοῦ· σὺν μέλιτι ἕκαστον, δεύσας ἢ ἀριστολοχίαν, λεῖαν ἐμφύσα ἢ καλαμίνθης χυλὸν ἔγχεε ἢ ἐλλέβορον λευκὸν σὺν οἴνῳ ἢ κολοκύνθης τὸ ἀφέψημα ἢ κενταυρίου ἢ ἀψινθίου ἢ πόλιον ἢ πρασίου ἢ ἐλατήριον, δεῦσον μετ' ὄξους· ποιεῖ δὲ καὶ μαλάχης ἡμέρου καὶ ἀγρίας ὁ χυλὸς καὶ μάλιστα, ἐπὶ τῶν φλεγμαινόντων· εἰσὶ δὲ ταῦτα πάνυ δόκιμα καὶ θαυμαστά.

κβʹ Ὠτικὸν ἐπίθεμα· πρὸς τὰς ἐκ τῶν ὤτων αἱμορραγίας· ὥστε, μὴ θρομβοῦσθαι τὸ 22
αἷμα· ἔχει:

Πράσου χυλόν· μετὰ ὄξους μίξας, ἐγχυμάτιζε· κατὰ τοῦ ὠτός· τοῦτο καὶ τὸ αἷμα στέλλει καὶ τοὺς θρόμβους διαλύει ἢ ῥοὰν ἐν ὄξει ἑψήσας, ἐγχυμάτιζε ἢ κηκῖδας ἐν ὄξει ἑψήσας καὶ διηθήσας καὶ βάτου χυλὸν μίξας, ἐγχυμάτιζε ἢ ἀκακίας, χυλόν ἢ ἀμούργαν ἐλαίου ἢ λύκιον καὶ μάλιστα μετὰ ὄξους ἐγχυμάτιζε καὶ οὕτως χρῶ.

κγʹ Ὠτικὸν ἐπίθεμα· πρὸς τὰ ἔξωθεν τοῦ πόρου τῶν ὤτων πάθη· ἤγουν, πρὸς τὰς 23
φλεγμονὰς τῶν τριμμάτων τῶν λοβῶν· τοῦ ὠτὸς ἐπὶ παίδων· πάνυ δόκιμον· ἔχει:

Ἐλαίου κοινοῦ· ἐν χαλκῷ λύχνῳ· θερμανθέντι ἐπ' ἀνθράκων· τοῦτο συνεχῶς κατάχριε καὶ ὑγιάσεις· πρὸς δὲ τὰς θλάσεις τῶν ὤτων, λαβὼν σμύρνης· μάννα· λιβάνου· γῆν μέλαιναν· εἰς μέντοι, τινὲς· σὺν ὄξει ἑνώσας καὶ ποιήσας κηρωτῆς πάχος κατάπλαττε καὶ μὴ αὐτὰ ἐρέθιζε μηδαμῶς καὶ οὕτως χρῶ·

---

**6** τὸ ἀρκοῦν om. X ¦ τοῦ ἀρκοῦντος L | ἀναλαβὼν X | ἀναλαβὼν αὐτὰ ποίησον L | τὸ φάρμακον om. X ἔχειν om. X **7** λαβὼν – δέει om. X | τὸ ἱκανὸν L | τῇ χρείᾳ L | δέει om. L **8** τοῦ ἀρκοῦντος L | καὶ χρῶ om. X ¦ αὐτὸ εἰς τὸ οὖς L **21, 1** Ὠτικὸν ἐπίθεμα om. P | τοὺς X L | ἔχει om. X ¦ ὠφέλιμον L **2** δὲ om. X γενομένους L | σκώληκας – ὠσὶν transp. P X L | ἅπτε P ¦ add. ἐπιτίθει L **3** δίδου X ¦ om. L | καππάρεως – χυλόν transp. L | τοῦ χυλοῦ P | κεδραίας X **4** παλαιὸν P | μετὰ μέλιτος L | ἕκαστον om. X | δεύσας om. P ¦ add. ἐπίθες X ¦ ἑνώσας , ἔγχεε εἰς τὸ οὖς L | λειώσας L | ἐμφεῖσα P **5** ἐλλεβόρου λευκοῦ X **6** πολίου P X L σκορόδου P | ἐλατηρίου P X L | δεῦσον om. P ¦ δεύσας X L | ἔγχεε· λυσιτελεῖ L **7** ἡμέρου – ἀγρίας transp. L | ζωμὸς X | ταῦτα δὲ πάντα εἰσὶ L | εἰσὶ – 8 θαυμαστά om.; postea titulus capitulum Περὶ τὰς ὠτῶν αἱμορραγίας P ¦ om. X **22, 1** κβʹ sine numero P | Ὠτικὸν ἐπίθεμα om. P | ὥστε] ὠφέλιμον καὶ εἰς τὸ L **2** ἔχει om. X L **3** καὶ P | κατὰ – ὠτός om. P X **5** καὶ[2] – ἐγχυμάτιζε] ἐγχυμάτιζε μετὰ χυλοῦ βάτου L | post ἐγχυμάτιζε add. πηγάνου σὺν ὄξει P ¦ add. ἢ πολυγόνου χυλὸν σὺν ὄξει βραχύναι μίξας, ἐγχυμάτιζε X L | ἢ[1] – 6 ὄξους in finem praecepti P | ἀκακίας χυλόν transp. L | χυλόν om. X | ἀμόργιν X **6** καὶ μάλιστα om. X | μετ' X | ἐγχυμάτιζε – χρῶ] βραχὲν P | καὶ[2] – χρῶ om. X | οὕτως χρῶ] θεραπεύσεις L **23, 1** Ὠτικὸν ἐπίθεμα om. P | ἕλκη X | τοῦτʹ ἔστιν P **2** post λοβῶν add. καὶ πρὸς τὰς θλάσεις τῶν ὠτῶν τὰ φλαιγμαίνοντα τρίμματα τῶν λοβῶν P | ἐντὸς X ¦ add. καὶ μάλιστα L | πάνυ – ἔχει om. P X | ἔχει om. L **3** Ἔλαιον κοινὸν L | κοινοῦ om. P | ἰωθέντι P ¦ θερμανθέντος X ¦ om. L | ἐπ' – τοῦτο om. P | τοῦτο om. X ¦ θεὶς καὶ θερμάνας ἱκανῶς L συνεχῶς κατάχριε transp. L **4** καὶ ὑγιάσεις om. X ¦ καὶ θεραπεύσεις L | ζζʹʹ P ¦ σμύρνην L | λίβανον L **5** εἰς – τινὲς om. X L | μέντοι] μοτὸν οὐχὶ εἰς μοτὸν ἀλλὰ ἣν σμῶνται P | καὶ[2] – 6 αὐτὰ] αὐτὰ δὲ τὰ τραύματα L **6** αὐτὰ om. X | ἐρέθιζε μηδαμῶς transp. L | καὶ – χρῶ om. P X

23a Ὁμοίως· Θεῖον ἄπυρον· σμύρνης· λίβανον· μετὰ πίσσης ὑγρᾶς τὸ ἀρκοῦν· σκευάσας καλῶς, ἐπιτίθει κατὰ τοῦ σπληνός·

23b Ὡσαύτως· Ἀσφάλτου· ἀλόης ξανθῆς· λιβάνου· κοχλίων τῆς σαρκός· βολβῶν ἀφρόν, ἀνὰ οὐγγ β΄· τρίψας καλῶς, δεῦσον μετ᾽ ὄξους τὸ ἀρκοῦν καὶ ἐξ αὐτοῦ, ἔμπλασσε, ὡς κηρωτὴν ἢ τοῖς αἰδοιϊκοῖς τροχίσκοις, κατάχριε·

23c Ὡσαύτως· Γῆς ἔντερα· σὺν ὀλίγην γῇ ἐξ ἧς ἐλήφθησαν· τρίψας ὁμοῦ καὶ σκευάσας καλῶς, κατάχριε· ἐφ᾽ ὧν δὲ τεθλᾶσθαι τὰ ὦτα· πληρώσας ἔξωθεν τὴν κοιλότητα· τὴν προχειροτέραν τοῦ χόνδρου, γῆν κεραμικὴν καὶ ἐάσας ξηρανθῆναι ἐπίχριε·

23d Ὁμοίως· Στρύχνον μετὰ ἀψινθίου τὸν χυλόν, μέχρι καταστῇ, ἐπίθες ἄνωθεν· εἰ δὲ καὶ φλεγμονὴ ἐπιγένηται· τῇ θλάσει· τῷ μὲν πόρῳ, ἔνσταζε βουτύρῳ νεαρῷ καὶ χλιαρῷ ἢ στέαρ χηνὸς ἢ ὄρνιθος ἢ ὠκίμου χυλόν, μετά τινὸς τῶν στεάτων· ἔχει ἔξωθεν δὲ περίχριε, ψιμύθιν τετριμμένον καλῶς· μετὰ στρύχνου ἢ πολυγόνου ἢ κορίου, τῶν χυλῶν ἢ ῥοὰς γλυκέος καὶ σίδια· ἐν οἴνῳ ἑψήσας καλῶς καὶ λεάνας, κατάχριε ἢ γλαυκίῳ ἐπίχριε·

23e Ὁμοίως· Ὡσαύτως· σκεύαζε καὶ τὰ τοιαῦτα εἴδη καὶ ποίησον ἔμπλαστρον καὶ ἐπίθες ἄνωθεν, ὡς δόκιμον πάνυ· ἤγουν· σάνδικος· λίτρ α΄· ὕδατος, λίτρ ἥμισυ· ἐλαίου κοινοῦ· λίτρ α΄· τρίψας καὶ σκευάσας καλῶς, ἕψε ἕως ἀμολύντου καὶ οὕτως σκευάσας χρῶ.

---

**23a, 1** Ἄλλον P | σμύρνην L | τῆς ἀρκούσης add. ἑνώσας καὶ L | τὸ – 2 καλῶς om. P ¦ ἑνώσας X **2** ἐπίθες X L | σπληνίον ἐπιτίθει P **23b, 1** Ἄλλον P | ξανθῆς om. P X | κογχυλίων P | κοχλίων – σαρκός transp. L ἀφροῦ X **2** ἀνὰ – β΄] ἴσα P | τρίψας – μετ᾽ om. P | καλῶς om. X | δεύσας X | ὄξους – αὐτοῦ] ὄξους σὺν λεάνας P | τοῦ ἀρκοῦντος L | τὸ – αὐτοῦ om. X | post καὶ add. λαμβάνων L | post ἔμπλασσε add. τὸ ἱκανὸν τῇ χρείᾳ ποίει L | post ὡς add. ἔμπλαστρον ἢ L **3** κηρὸν P | ἢ] καὶ ἐπιτίθει κατὰ τῶν τραυμάτων ἢ λαμβάνων ἀπὸ L | τοὺς αἰδοιϊκοὺς τροχίσκους X ¦ τῶν αἰδιοικῶν τροχίσκων L **23c, 1** Ἄλλον· Πρὸς θλασιωτῶν; novum praeceptum; sine numero P | μετὰ γῆς ὀλίγης L | ἐξ – 23e, 3 χρῶ om. L | ἀναλαβὼν P | καὶ – 2 καλῶς om. X **2** κέκλασται X | πληρώσας – κοιλότητα transp. P **3** ἔασον X | ἐπίχριε om. X **23d, 1** Ἄλλον P | τὸν χυλόν om. P ¦ τοῦ χυλοῦ X | ἐπίθες ἄνωθεν om. P **2** βούτυρον νεαρὸν καὶ χλιαρὸν P X **3** ἔχει om. P X **4** τετριμμένον καλῶς om. P | καλῶς om. X | τοῦ χυλοῦ P X **5** καλῶς om. P X | γλαυκίον X **6** ἐπίχριε] χρῶ P **23e, 1** Ὁμοίως om. X | Ὡσαύτως – ποίησον] Χρῶ καὶ ταύτην τὴν P | τὰ – εἴδη] τὴν τοιαύτην X | καὶ ποίησον om. X | καὶ[3] – 2 πάνυ om. P **2** ἄνωθεν – ἤγουν] ἧς ἡ σύνθεσις X | ἔχει P | κοινοῦ om. P X **3** τρίψας – καλῶς om. P | καλῶς om. X | ἕψει X | οὕτω X | ἀνελόμενος P | σκευάσας[2] om. X | post χρῶ add. ὡς δόκιμον postea add. duae praecepta sec. m. P

# Appendix 1

postea capitulum περὶ Ἀντιδότων habet P

Ἀρχὴ τῶν ἀρτηριακῶν βοηθημάτων

α′ Ἀρτηριακή, πρὸς τὰς τῆς φωνῆς τραχύτητα
β′ Ἀρτηριακὴ ἄλλη μοῦσα ὀνομαζομένη πρὸς φωνῆς ἀποκοπάς
γ′ Πρὸς τραχύτητας βρόγχου καὶ δι᾽ αἱμοπτύσεις
δ′ Ἀρτηριακὴ ἄλλη ποιεῖ πρὸς βῆχα
ε′ Ὑπογλώττια πρὸς φωνῆς ἀποκοπάς
ϛ′ Ῥόφημα πρὸς κεκομμένους ἤχους
ζ′ Ἀρτηριακὴ ὑπογλώττια φωνῆς ἀποκεκομμένης καὶ ἀναφορικῆς καὶ βράγχωσις
η′ Ἀρτηριακὴ πρὸς τραχύτητα καὶ ἀποκεκομμένην φωνήν
θ′ Ἀρτηριακὴ ἀναγκαία ποιοῦσα φωνασκικοὺς καὶ πρὸς βραγχιῶντας
ι′ Ἀρτηριακὴ ἀναγκαία πρὸς τὰς κεχρονισμένας διαθέσεις ἐν τῇ τραχείᾳ ἀρτηρίᾳ καὶ ἐν πνεύμονα
ια′ Ἀρτηριακή, πρὸς τὰς τῆς ἀρτηρίας πάθη εἰς ἕλκη ἐν πνεύμονα καὶ πύου καὶ ἀναγωγὰς αἵματος
ιβ′ Ἐκ τῶν Ἀσκληπιάδων πανάκεια ἡ Μιθριδάτου φωνασκουμένους
ιγ′ Ἀντίδοτος ἡ διὰ κωδυῶν

## Ἀρχὴ τῶν ἀρτηριακῶν βοηθημάτων

α΄ Ἀρτηριακή, πρὸς τὰς τῆς φωνῆς τραχύτητας· ἐν ἀρχαῖς διδομένη ὡς 1
παρηγορητικότητα· ἔχει:

Κομμίδι, οὐγγ β΄· τραγακάνθης, οὐγγ α΄· ψιμύθου, ἐξάγ α΄· κόψας, σήσας τὴν κόμμην καὶ τὴν τραγακάνθην· λέαινε μετὰ τοῦ ἑψήματος μέχρι διαλύσεως· ἔπειτα ἕψε ἐν ἀνθράκων ἀκάπνων, ἕως μὴ μόνων ἐνσταζόμενον σὺν ὀστράκων καὶ δίδου ἐξ αὐτοῦ ὑπὸ τὴν γλῶτταν κατέχει.

Ἀρτηριακὴ ἄλλη ἔχει: 1a

Κομμιδίου, οὐγγ ε΄· γλυκέως, ξεστίον α΄· μέλιτος, λίτραν α΄· λεῖε τῇ κόμμει, ὀλίγου ὕδατι καὶ βάλλον ἕψε ἅμα ἐπὶ ἀνθράκων ἀκάπνων ὡς εἴρηται καὶ δίδου ἐκλείχειν, εἰς ὕπνον πορευομένου.

β΄ Ἀρτηριακὴ ἄλλη Μοῦσα ὀνομαζομένη πρὸς τῆς τὴν φωνὴν ἀποκοπάς, ἔχει: 2

Κράμβης χλωρᾶς, τοὺς καυλοὺς κάθαρσιν, δίδου διαμασᾶσθαι καὶ τῶν μετὰ ἀχυράδωσιν αὐτῶν ἀποπτύει κελεύει· τὸν δὲ χυλὸν καταπίνειν

ἢ Στύρακος, ἐρεβίνθης, τὸ ἔασον καταπινέτω. 2a

Ἄλλον· Κράμβης χυλὸν μετὰ μέλιτος ἑψήσας. δίδου ἐκ γλήχωνος 2b

Ἄλλον·Ἠρυγγίου ἐν ὕδατι ἑψημένου, λαβὼν τοῦ χυλοῦ· ὅσον κοτύλην α΄ καὶ σύκων ἐν 2c
ὕδατι ἑψημένων τὸ ἴσον καὶ τοῦτο ἐπιβαλὼν· κόμμεως λειοτάτης, οὐγγ η΄· ἕψε φιλοπόνως ἀρτηριακῆς σχεῖν πάχος καὶ δίδου ἐκ τούτου ἐκ γλήχωνος εἰς ὕπνον πορευομένου, ὅσον κυάθου α΄.

γ΄ Ἄλλον· Πρὸς τραχύτητας βρόγχου καὶ βῆχα καὶ διαίμους πτύσεις· ἔχει: 3

Ἀμύγδαλα πικρὰ λελειωμένα, κε΄· λινοσπόρου πεφωγμένου, οὐγγ δ΄· τραγακάνθης, οὐγγ β΄· ᾠοῦ ὠπτημένου, ἐνζύμου, τὴν τούτου λήκυθον, τὴν τραγακάνθην, ὕδατος ὀλίγον βρέχε· τὸ δι᾽ ὅλον γλυκὺ ἀναλαμβάνεται καὶ δίδου ἐκ γλήχων εἰς ὕπνον, οὐγγ β΄· ἡ δὲ καὶ τὸ ἦχον εἴη τῆς φωνῆς τεθρασμένον, μέλιτι σμίγε ἀντὶ τοῦ γλυκέως καὶ μάλιστα ἐφ᾽ ὧν ἀναχθῆναι ἐκ τοῦ θώρακος, ἐστὶ ἡ χρεία.

Ἔλιγμα, ὅ χρώμεθα ἔχει: 3a

Σκυβελίτη, ξέστην α΄· κόμμεως λίτρ ἥμισυ · μέλιτος οὐγγ θ΄· προβρέξας ὕδατι ὀλίγον τῇ κόμμι καὶ συν λεάνας πάντα ἕψε ἐν διπλώματι καὶ χρῶ.

---

**2, 3** ἀχυράδωσιν recte ἀχυρῶδες

4 δʹ Ἀρτηριακὴ ἄλλη ποιεῖ πρὸς βῆχα:

Λινοσπέρμα κεκομμένου καὶ σεσεισμένου· σταφίδων λιπαρῶν ἐκγιγαρτισμένων· στροβίλων πεφωγμένων καρύων ποντικῶν κεκαυμένων· ἴσα λεάνας καὶ μέλιτος τὸ ἀρκοῦν ἀπέφθῳ ἀναλαβὼν δίδου κοχλιάρια εἰς ὕπνον ὑπὸ τὴν γλῶσσαν.

5 εʹ Ὑπογλώττια πρὸς φωνῆς ἀποκοπὰς καὶ τὰς λοιπὰς περὶ τὴν ἀρτηρίαν διαθέσεις· ἔχει:

Τραγακάνθης οὐγγ ςʹ κόμμεως οὐγγ ςʹ ζζ” λιβάνου, ἀνὰ οὐγγ αʹ καὶ ἥμισυ φοινίκων βαλάνων οὐγγ γʹ ἤγουν τῶν σαρκῶν αὐτῶν γλυκυρίζης οὐγγ γʹ γλυκέος προτρόπου ἤτοι προούρου ἢ Θηραίου εἰς ἀνάληψιν ὅσον ἐξαρκεῖ· ἔστω δὲ τῷ γλυκεῖ προψημένον, ὡς μέλιτος ἔχειν πάχος· καὶ δίδου κυάμου Αἰγυπτίου τὸ μέγεθος ὑπὸ τὴν γλῶσσαν κατέχειν καὶ τὸ ἐξ αὐτοῦ διαλυόμενον καταπίνειν.

5a Ἄλλη Χαριξένου· ἔχει:

Γλυκυρίζης χυλοῦ· τραγακάνθης, ἀνὰ λίτρ ἥμισυ κρόκου ζζ”, ἀνὰ οὐγγ βʹ λιβάνου ναρδοστάχυος, ἀνὰ οὐγγ αʹ προτρόπου· τουτέστιν προούρου, ξέστ ςʹ ἑψήσας εἰς μέλιτος σύστασιν καὶ ἀναλαβῶν τὰ ξηρὰ καὶ χρῶ· ποιεῖ ὅσα ἡ μετὰ ταύτην.

5b Ἀρτηριακὴ ἄλλη· ποιεῖ πρὸς ἤχους καὶ βρόγχους καὶ φωνῆς ἀποκοπὰς φλεγμονὰς παρισθμίων, ποιεῖ τοῖς φωνασκοῖς πρὸ τῶν ἀγώνων καὶ μετὰ τοὺς ἀγῶνας διδομένη καὶ τοὺς κατεψυγμένους δὲ ὠφελεῖ, ποιεῖ βήττουσι προσφάτους τε καὶ χρονίους, ποιεῖ αἱμοπτυικοῖς, ἀναφορικοῖς καὶ κοιλιακοῖς, καὶ πρὸς τὴν τοῦ πν<εύμονο>ς δυσωδίαν· ἔχει:

Κρόκου οὐγγ γʹ ζζ” λιβάνου γλυκυρίζης ἀνὰ οὐγγ αʹ γλυκέος Κρητικοῦ ξέστ γʹ, ἕψε εἰς τὸ τρίτον καὶ ἀναλάμβανε αὐτῷ τὰ προειρημένα καὶ χρῶ.

5c Ἄλλη Χαριξένου πρὸς ἡλκωμένην ἀρτηρίαν, ποιεῖ πρὸς φωνασκουμένους πρὸ τῶν ἀγώνων καὶ μετὰ τοὺς ἀγῶνας διδομένη· ποιεῖ πρὸς ὀφθαλμοὺς περιωδυνίας ἔξωθεν ἐπιτιθεμένη ἐρίου αὐτῇ βεβρεγμένου, ποιεῖ δὲ καὶ πρὸς τὰς τῶν ἐντὸς διαθέσεις ἐκλειχομένη· ἔχει:

Κόμμεως τετραγκάνθης, ἀνὰ λίτρ αʹ λιβάνου ζζ”, ἀνὰ οὐγγ γʹ κρόκου ὑποκιστίδος χυλοῦ, ἀνὰ οὐγγ βʹ γλυκέος σκυβελλίτου ἢ Θηραίου ξέστ βʹ. Τὴν κόμμη καὶ τὴν τραγάκανθαν κόψας καὶ σήσας, ἕκαστον ἰδίᾳ λέαινε σὺν ὀλίγῳ γλυκεῖ, τὰ δὲ ἄλλα θλάσας καὶ προβρέξας, λείου ὁμοίως μετʼ ὀλίγου γλυκέος. Τὸν δὲ κρόκον εἰς ἐριοῦν ῥάκος ἐνδήσας ἀραιὸν καὶ ἀποδήσας ἀποκρέμασον τῆς χύτρας καὶ βαλὼν πάντων ἕψε συνεχῶς· εἶτα ἐξελὼν τὸν κρόκον καὶ λεάνας εὖ μάλα ἐν θυίᾳ ἐπιβαλὼν τὰ ἑψηθέντα καὶ ἑνώσας χρῶ.

5d Ἀρτηριακὴ ἄλλη, ᾗ χρησάμενος πολλάκις εὐδοκίμησα· ἔχει:

Στροβίλια ξʹ ἀμύγδαλα πικρὰ λελεπισμένα μʹ φοινίκων βαλάνων τὰς σάρκας ςʹ γλυκυρίζης χυλοῦ γράμματα ιβʹ κρόκου ζζ” ἀνὰ γράμμα αʹ τραγακάνθης γράμματα ςʹ γλυκέος Κρητικοῦ τὸ ἱκανόν· ἐφʼ ὧν δὲ ἀναγωγῆς τῶν ἐν τῷ θώρακι χρεία γένοιτο καὶ μέλιτος ἐπίβαλε σὺν τῷ ἑψήματι.

ς´ Ἀρτηριακὴ ἄλλη, Ἀνδρομάχου· ἔχει: 6

Στέατος ὀρνιθείου προσφάτου οὐγγ γ´ μέλιτος κοτύλην α´· ἕψε ὁμοῦ κινῶν πηγάνῳ κλωνίοις, ἕως συστῇ καὶ δίδου νῆστις καὶ μετὰ τροφὴν καὶ εἰς νύκτα.

Ῥόφημα πρὸς κεκομμένους ἤχους, μάλιστα καὶ ὑγρότητα, ποιεῖ καὶ φωνασκούς· ἔχει: 6a

Πράσα ἀναλαβών, ἕψε εἰς ἀποτρίτωσιν καὶ αὐτὰ μὲν ῥῖψον, τῷ δὲ ὕδατι μῖξον χόνδρου χυλὸν καὶ μέλι καὶ ὠῶν τὰ πυρρὰ, τρία καὶ ἑνώσας ἕψε εἰς ἀποτρίτωσιν καὶ διηθήσας ἐπίβαλλε ἑψήματος καλοῦ, ξέστ α´ καὶ ἕψε πάλιν μέχρι συστάσεως κινῶν ἀνήθου κλωνίοις καὶ δίδου κοτύλην ἕωθεν καὶ εἰς ἑσπέρας.

ζ´ Ἀρτηριακὴ ὑπογλωσσὶς φωνὴν ἀποκεκομμένοις καὶ ἀναφορικοῖς καὶ βραγχιῶσιν· ἔχει: 7

Τραγακάνθης κόμμεως, ἀνὰ λίτρ ἥμισυ· ζζ῾῾, οὐγγ α´ λιβάνου οὐγγ α´ καὶ ἥμισυ· πεπέρεως λευκοῦ, κόκκους κ´· κρόκου οὐγγ α´· γλυκορίζης λίτρ ἥμισυ· φοινίκων βαλάνων τριῶν· τῶν σαρκῶν· γλυκέος Κρητικοῦ τὸ ἱκανόν· τὸ κόμμι καὶ τὴν τραγάκανθα κοπέντα καὶ σηθέντα καὶ βρέχεται τῷ γλυκεῖ σὺν τῷ χυλῷ τῆς γλυκυρίζης· μὴ παρόντος δὲ τοῦ χυλοῦ τὴν γλυκύριζαν θλάσαντες καὶ ἑψήσαντες ἕως συστάσεως τετραπλῆν ἀνελομένην ταύτην καὶ ἐμβάλλομεν.

η´ Ἀρτηριακὴ πρὸς τραχύτητα καὶ ἀποκεκομμένην φωνήν· ἔχει: 8

Κρόκου οὐγγ ζ´· γλυκυρίζης· ναρδοστάχυος, ἀνὰ οὐγγ δ´· ζζ῾῾· λιβάνου, ἀνὰ οὐγγ γ´· ὑοσκυάμου σπέρματος οὐγγ α´· μέλιτος ἀπηφρισμένου λίτρ ἥμισυ· πεπέρεως λευκοῦ, κόκκους ν´· μαλάξας καὶ ἀνελομένη, δίδου ὑπὸ τὴν γλῶτταν, ὅσον κυάμου μέγεθος.

θ´ Ἀρτηριακὴ ἀναγκαῖα ποιοῦσα φωνασκικοῖς· ἐπειράθη καὶ πρὸς βραγχιῶντας δι᾽ ὑγρότητα πλείστην· ἔχει: 9

Κόστου· φύλλου· ναρδοστάχυος· ἀμώμου· πεπέρεως· κασίας· μαστίχης, ἀνὰ οὐγγ β´ καὶ ἥμισυ· ὀπίου οὐγγ α´· μέλιτος καὶ μόρων τοῦ χυλοῦ· ἐξ ἴσης μεμιγμένον τὸ ἀρκοῦν, ἵνα ἀναλαμβανόμενον αὐτοῖς τὸ φάρμακον ὡς ἰξῶδες γένηται τῇ συστάσει καὶ ἀνελόμενον τοῦτο, χρῶ· διδοὺς ὑπὸ τὴν γλῶτταν κατέχειν ὅσον καρύου μικροῦ ποντικοῦ τὸ μέγεθος· μὴ πάνυ δὲ στερεὸν σκεύαζε, ἵνα ῥᾷον τήκεται ὑπὸ τὴν γλῶτταν.

ι´ Ἀρτηριακαὶ ποικίλαι πρὸς τὰς κεχρονισμένας διαθέσεις ἐν τῇ τραχείᾳ ἀρτηρίᾳ καὶ πνεύμονι· ἔχει: Ποιεῖ δὲ ἀναφορικοῖς καὶ πρὸς πάντα τὰ ἐν ἀποκαλύψει ἀποστήματα καὶ πᾶσαν χρονίαν βῆχα, τέμνει φλέγμα καὶ ὑπάγει κοιλίαν· μάλιστα δὲ ὠφελεῖ ὀρθοπνοϊκοῖς· ἔχει: 10

Σκίλλης καθαρᾶς ὀπτῆς λίτρ ἥμισυ· λινοσπέρμου· κνίδης σπέρματος, ἀνὰ οὐγγ β´ περιστερεῶνος χυλοῦ ξηροῦ· θύμου ἀλεύρου ὀροβίνου· γλήχωνος· ἴρεως· βεττονίκης· ἀνίσου· καρδαμώμου· μαράθρου σπέρματος· πεπέρεως· τήλεως, ἀνὰ οὐγγ α´, ἀναλάμβανε μέλιτι Ἀττικῷ καὶ δίδου κοχλιάριον ἕωθεν καὶ εἰς ἑσπέραν ὁμοίως.

11 ια´ Ἀρτηριακὴ ἄλλη πρὸς τὰ τῆς ἀρτηρίας πάθη καὶ ἕλκη ἐν πνεύμονι καὶ πύου καὶ ἀναγωγὰς αἵματος καὶ τοὺς εἰς θώρακα ῥευματισμοὺς καὶ πρὸς τὸ ἀναγαγεῖν τὰ εἰθισμένα ἐν τῷ πνεύμονι σφόδρα ἐνεργής· ἔχει:

Ῥητίνης· τερεβινθίνης· κρόκου· λιβάνου· ζζ” στρωγλύτιδος· γῆς ἀστέρος· κινναμώμου· στροβίλων κεκαθαρμένων· γλυκυρίζης, ἀνὰ οὐγγ δ´· ἀμώμου· τραγακάνθης· φοινίκων λιπαρῶν τῆς σαρκός, ἀνὰ οὐγγ γ´· ναρδοστάχυος· κασίας, ἀνὰ οὐγγ β´ κόστου, οὐγγ α´· χαλβάνης καθαρᾶς, ὀβολοὺς δ´· μέλιτος Ἀττικοῦ λιτρ ϛ´· τὸ μέλι καὶ τὴν τερεβινθίνην ἕψε ἐν διπλώματι καὶ ὅταν ἄρξηται συστρέφεσθαι μίγνυε τὴν χαλβάνην προμεμαλαγμένην ἀκριβῶς καὶ ἕψε ἄχρις οὗ μὴ μολύνῃ, εἶτα ψύξας κινῶν μίγνυε ἐν θυίᾳ τοῖς λοιποῖς κεκομμένοις καὶ σεσησμένοις καὶ ἀνελόμενον χρῶ· διδοὺς κατέχειν ὑπὸ τὴν γλῶτταν.

11a Ἀρτηριακὴ ἄλλη ποιοῦσα πρὸς πάντα τὰ προρρηθέντα· ἔχει:

Ναρδοστάχυος οὐγγ δ´· κρόκου οὐγγ α´· πεπέρεως, κόκκους λ´· γλυκυρίζης οὐγγ α´· στρόβιλοι κεκαθαρμένοι ρ´· βαλαυστίων οὐγγ γ´· τραγακάνθης· κινναμώμου· ἀμώμου· λιβάνου, ἀνὰ οὐγγ α´ μέλιτος λίτρ α´ καὶ ἥμισυ ἢ γλυκέος Κρητικοῦ κοτύλαι η´· ὁ γλυκὺς ἐν διπλώματι· ἕψε ὡς μέλιτος ἔχειν πάχος καὶ καταχεῖται κατὰ τῶν ξηρῶν λείων ἐν θυίᾳ. Ἡ δὲ τραγάκανθα, κόπτεται καὶ σήθεται καὶ λειοῦται σὺν τῷ στύρακι μετ᾽ οἴνου γλυκέος ὀλίγου καὶ οὕτως μίγνυται· δίδου κοχλιάριον. Εὗρον γὰρ ταῦτα ἀμφότερα παραγεγραμμένα ὅτι πάνυ εὐδόκιμα τοῦτο καὶ τὸ πρὸ αὐτοῦ βοηθήματος.

12 ιβ´ Ἐκ τῶν Ἀσκληπιάδου πανάκεια, ἢ Μιθριδάτου φωνασκουμένοις· πρὸ τῶν ἀγώνων καὶ μετὰ τοὺς ἀγῶνας διδομένη, ποιεῖ καὶ πρὸς ἀντιάδων φλεγμονὰς καὶ κιονίδα κεχαλασμένην, ποιεῖ καὶ πρὸς οὖλα πλαδαρὰ καὶ τὰς ἐν στόματι γιγνομένας καὶ σειομένας ὀδόντας· ἁρμόζει δὲ πρὸς κατάρρουν καὶ χρόνιον βληττουσι καὶ πρόσφατον, ποιεῖ αἱμοπτοϊκοῖς· ἀναφορικοῖς. Χρῶμαι δὲ τῷ φαρμάκῳ ποτὲ μὲν ἀκράτῳ, ἔστι δὲ ὅτε καὶ διαλυθέντι γλυκεῖ ἢ σκυβελλίτῃ ἢ ὕδατι γλυκεῖ θερμῷ· πρὸς μὲν γὰρ τὰς τῶν παρισθμίων φλεγμονὰς καὶ τὰς τοιαύτας διαθέσεις χρηστέον ἀνιεμένῳ τῷ φαρμάκῳ, πρὸς δὲ τὰς ἐν βάθει ἀκράτῳ. Τὰ δὲ τῆς συνθέσεως ἔχει οὕτως:

Ῥίζαι πτέρεως ὡς ὅτι παχύταται πλύνονται ἐπιμελῶς, ἕως ἂν τὸ γεῶδες ἀποστῇ, εἶτα ψύχονται κατατεμνόμεναι, εἰς δακτυλιαίῳ τῷ μεγέθει· ἐκ τούτων αἴρομεν λιτρ γ´ καὶ κωδείας μήκωνος ἀγρίας συμμέτρου τὸν ἀριθμὸν ρν´, συμφύτου ῥίζης κεκαθαρμένης· μανδραγόρου ῥίζης φλοιοῦ, ῥέου Ποντικοῦ· ῥόδων ξηρῶν· ἴρεως Ἰλλυρικῆς· γλυκυρίζης· βαλαυστίων, ἀνὰ οὐγγ γ´· κασίας οὐγγ δ´· νάρδου Κελτικῆς οὐγγ α´· ὕδατος ὀμβρίου ξέστ ιε´· τὰ προειρημένα πάντα παχυμερῶς κόπτε καὶ βρέχε ἐπὶ ἡμέραν γ´, τῇ δὲ ἑξῆς ἕψε ἐν διπλώματι εἰς τὸ τρίτον, ἔπειτα ἐκθλίβομεν ἐκ δὲ τούτου τοῦ ἀφεψήματος μεταλαβόντες, βρέχομεν τὰ ὑπογεγραμμένα, ἡμέραν καὶ νύκτα· ἔστι δὲ ταῦτα:

Κόμμεως καθαροῦ, λίτρ α´· σμύρνης στρωγλίτιδος οὐγγ β´· γλυκυρίζης χυλοῦ· ὑποκιστίδος χυλοῦ, ἀνὰ οὐγγ β´· τραγακάνθης διαγούς, ὅσον λίτρ α´· κρόκου· μαστίχης, ἀνὰ οὐγγ α´· τῇ δὲ ἑξῆς λεαίνομεν φιλοτίμως κατὰ βραχὺ ἐπιβάλλοντες τοῦ ἐκθλιβέντος ὑγροῦ; ἔπειτα οἴνου σκυβελλίτου καὶ Θηραίου ἢ ἑτέρου γλυκυτάτου ἐπιβάλλοντες ὅσον ξέστ κδ´· εἰς ἀγγεῖον ὀστράκινον ἑψοῦμεν καὶ ὅταν ἔχῃ μέλιτος πάχος, τούτῳ

ἐπιβάλλομεν τὰ λελειωμένα πάντα καὶ πάλιν ἕψωμεν μέχρι συστάσεως, εἶτα ἀνελόμενοι χρώμεθα, ἡ δόσις κοχλιάριον α΄.

ιγ΄ Ἡ διὰ κωδυῶν ἀντίδοτος· ὠφελεῖ πρὸς βῆχας ὑγρὰς καὶ πόνους ἀρτηρίας καὶ 13
φάρυγγος καὶ πρὸς τοὺς ἀπὸ κεφαλῆς εἰς θώρακα ῥευματισμοὺς καὶ πρὸς ἀγρυπνίας καὶ προεγράφη εἰς τὰς ἀντιδότους, ἐν τῷ α΄ στοιχείῳ ἢ δὲ βούλῃ αὐτὴν ἐφεκτικώτερα τῶν τῆς κοιλίας ῥευματισμῶν ἐργάσασθαι καὶ αἱμοπτοϊκοῖς ἁρμοδίως πρόσβαλλε ἐν αὐτῇ τῇ ἀντιδότῳ καὶ ῥοῦ ἐρυθροῦ χυλόν, ὅσον οὐγγ β΄ καὶ ἀκακίας, οὐγγ β΄ ταῦτα δὲ γλυκὺ διαλύων πρόσβαλλε ἐν τῇ χύτρᾳ· μέλλων ἀφαιρεῖν τὸ φάρμακον ἀπὸ τοῦ πυρὸς καὶ συναναζέσας μετ᾽ ὀλίγον χρῶ. Παρέχων κοχλιάρια εἰς κοίτην, ἡ δὲ σκευασία τῆς ἀντιδότου ἤγουν τῆς διὰ κωδυῶν· ἔστι αὕτη:

Κωδύας ἀγρίας θηβαικὰς συμμέτρους ι΄· ἀμφότερα σὺν τῷ σπέρματι ὕδατος ὀμβρίου ξέστ α΄· γλυκυρίζης ὀλίγον προβρέχων ἡμέραν μίαν, ἕψε μέχρι τακεραὶ γένωνται τῇ ἀφῇ αἱ κωδύαι καὶ ἐκθλίψας καὶ διηθήσας, ἐπίβαλλε τῷ ἀφεψήματι μέλιτος τὸ ἥμισυ καὶ ἕψε ἐπ᾽ ἀνθράκων μέχρι συστάσεως μελιτώδους καὶ ἀνελόμενον χρῶ. Εἰ δὲ βούλει αὐτὴν ἐφεκτικωτέρα ποιῆσαι ζσμῆγμα καὶ τοῖς προειρημένοις ἄνωθεν.

# Appendix 2

post praeceptum κα΄ [21] ; in capitulo περὶ Ὀξυμέλιτων σκευασιῶν habet P

ις΄ Ὀξύμελι σπληνικόν· ἔχει: 16

Καππάρεως ῥίζης τοῦ φλοιοῦ· σκολοπενδρίου· ναρδοστάχυος, ἀσάρου, ἴρεως, σχοίνου ἄνθος, πεπέρεως· ἀνήθου, ἀνίσου· κυμίνου· μαράθρου· ἀκόρου· ἐρείκης καρποῦ, ἀνὰ οὐγγ α΄· μυρίκης κλώνους καὶ ἰτέας· σελίνου τῶν ῥιζῶν· λιβανωτίδος· σκίλλης, ἀνὰ οὐγγ β΄, ὄξους ξέστ γ΄, μέλιτος ξέστ β΄· ἀμμωνιακοῦ θυμιάματος οὐγγ γ΄· σκεύαζε ὡς τὸ σκιλλιτικόν καὶ δίδου ὅσον κοχλιάρια β΄, μετ' εὐκράτου.

ιζ΄ Ὀξύμελι ποιοῦν πρὸς λιθιῶντας· ἔχει: 17

Σαρξιφάγου, βεττονίκης, ἀγρώστεως, ἀδιάντου, ναρδοστάχυος, ἀσάρου· καρπησίας· ἠρυγγίου, ἀνὰ οὐγγ α΄, πετροσελίνου Μακεδονικοῦ, πηγάνου σπέρματος ἀνὰ οὐγγ ἥμισυ, μαράθρου χλωροῦ· σκίλλης ὀπτῆς, ἴρεως· χαμαιδάφνης· καππάρεως ῥίζης τοῦ φλοιοῦ ἀνὰ οὐγγ γ΄, σίων οὐγγ β΄, ὕδατος· ὄξους καὶ μέλιτος ἀνὰ ξέστ β΄, σκευάσας χρῶ.

ιη΄ Ὀξυμέλιτος Ἰουλιάνειος· ἔχει: 18

Πηγάνου οὐγγ γ΄, θύμου κόμης οὐγγ δ΄, ἀνήθου οὐγγ α΄ καὶ ἥμισυ, ἴρεως οὐγγ α΄, ἀγαρικοῦ οὐγγ β΄, κόκκου Κνιδίου οὐγγ δ΄, λαθυρίδων· ἀλυπιάδος ἀνὰ οὐγγ γ΄· πολυποδίου, οὐγγ δ΄, φύλλου· κόστου· ναρδοστάχυος ἀνὰ οὐγγ α΄, ῥέου Ποντικοῦ οὐγγ α΄ καὶ ἥμισυ· σκίλλης οὐγγ γ΄, ἀκτῆς τῶν ἀκρεμόνων οὐγγ γ΄, κανώπου, ὅ ἐστιν ἀκτῆς φλοιός, οὐγγ γ΄· ἀσάρου οὐγγ α΄, γλήχωνος οὐγγ γ΄, ἐπιθύμου· ἐλλεβόρου· ἀκόρου, ἀνὰ οὐγγ β΄· σίου· ἀμώμου· ὑπερικοῦ· κυμίνου, ἀνὰ οὐγγ α΄, ἀνίσου, οὐγγ β΄· ὄξους ξέστ ι΄, μέλιτος ξέστ ε΄· τὰς βοτάνας ἀπόβρεξον ἐν τῷ ὄξει ἐπὶ ἡμέρας γ΄, εἶτα ἑψήσας, ἕως τὸ πλέον τοῦ ἡμίσεως ἀναλωθῇ καὶ ἐπίβαλε τὸ μέλι καὶ σειρώσας πρόσπλεξον τὰς λαθυρίδας καὶ τὸν κόστον καὶ τὸν Κνίδιον κόκκον καὶ εἰ βούλει μετὰ τὸ τέλεον ἑψηθῆναι τὸ ὀξύμελι· ἔμβαλλε τὸ ῥέον εἶτα ἀνελόμενον, ἀπόθου ἐν ἀγγείῳ, ἐπὶ δὲ τῆς χρείας, δίδου πρὸς δύναμιν, ὅσον οὐγγ α΄ ἢ πλέον ἢ ἔλαττον· ὠγελεῖ δὲ ἐπὶ ποδαγρικοῖς· ἐπιληπτικοῖς καὶ ἐφ' ὧν κενῶσαί τε ἅμα καὶ ἐκφράξαι τοὺς παχεῖς δεόμεθα χυμούς.

ιθ΄ Ἡ δι' ὀξυμέλιτος πικρὰ ὠφελεῖ πρὸς στομαχικούς, κωλικούς, ὑδρωπικοὺς καὶ πρὸς ὑστέραν· ἔχει: 19

Ἀλόης, οὐγγ β΄· φύλλου, οὐγγ α΄· κόστου· κασίας· ἀμώμου· ἴρεως, ἀνὰ οὐγγ ἥμισυ· πεπέρεως Σαμίου, ἀνὰ οὐγγ α΄· ὄξους, ξέστ ἥμισυ καὶ τέταρτον· μέλιτος, ξέστ ἥμισυ καὶ τέταρτον· μάραθρον, οὐγγ β΄· τὸ μάραθρον προέψε ἐν τῷ ὄξει, εἶτα τὸ μὲν μάραθρον ῥῖψον· τὸ δὲ ὄξος ἀναλαβῶν, ἐπίβαλλε τὸ μέλι καὶ μετὰ τὸ ἑψηθῆναι ἄχρι μελιτώδους συστάσεως ἔξελε καὶ ἀναταράξαι τὰ λοιπὰ ἔχει λεῖα καὶ βαλὼν ἐπίπασσε καὶ ἀνελόμενος, ἀπόθου ἐν ἀγγείῳ ἐπὶ δὲ τῆς χρείας· χρῶ.

20 κʹ Ὄξους σκιλλιτικοῦ σκευασία· ἔχει:

Σκίλλης περιπλάσας ζύμης καὶ ὀπτήσας ἐν θερμοσποδιᾷ καλήν· ἄρας ἀπὸ τοῦ πυρὸς περικαθάρον τὸ ἔξωθεν καὶ ἀναλαβὼν ἐκ τῆς ἔνδον σάρκας τῆς πάνυ τρυφεροτάτης καὶ καλῶς ὠπτημένης ὅσον λίτρ αʹ καὶ ἥμισυ· μῖξον μετʼ ὄξους δριμυτάτου, ξέστ εʹ καὶ ἀπόθου ἐν ὑελίνῳ ἀγγείῳ καὶ πωμάσας καλῶς καὶ ἡλίαζε τοῖς ὑπὸ κύνα καύμασι, ἐπὶ ἡμέρας μʹ εἶτα ἀναλαβὼν σείρωσον καὶ ῥῖψον τὴν σκίλλην τὸ δὲ ὄξος ἀνελόμενος, ἀπόθου τοῦτο δὲ καθʼ ἑαυτὸ ποιεῖ. Διδόμενον καὶ ἐπὶ τῶν σπληνικῶν ὁμοίως πρὸς δυσπνοϊκοὺς μετὰ μέλιτος συμπλέξας καὶ ἑψήσας πηγάνου χλωροῦ· δὸς ὀλίγον ὡς ὀξυμέλιτος, κοχλιαρίου αʹ, εἰς εὔκρατον.

21 καʹ Ὄξους σκιλλιτικοῦ σκευασίαν, ἑτέρα:

Σκίλλης τὸ ἐντεριώνιον λαβὼν ὅσον λιτρ ἥμισυ· πεπέρεως, οὐγγ ἥμισυ· δαύκου Κρητικοῦ σπέρματος, στάγ αʹ· μαράθρου σπέρμα καὶ σελίνου, ἀνὰ στάγ αʹ πετροσελίνου σπέρματος στάγ βʹ· κυμίνου στάγ αʹ· σιλφίου· ζιντζιβέρεως· ὑσσώπου· κόστου· λιβυστικοῦ σπέρματος· καρδαμώμου· ἀμώμου· ἀσάρου, ἀνὰ στάγ αʹ· πυρέθρου στάγ αʹ καὶ ἥμισυ· κελτικοῦ σταγ βʹ στάχυος· ῥέου Ποντικοῦ· γλήχωνος ἄνθος, ἀνὰ στάγ αʹ· ἡδυόσμου χλωροῦ, οὐγγ ἥμισυ· σελίνου τῶν φλοιῶν ἢ τῶν φύλλων, οὐγγ ἥμισυ· πηγάνου φύλλων χλωρῶν, οὐγγ ἥμισυ· ὄξους καλοῦ λευκοῦ καὶ λείας δριμέος μνᾶς, αʹ καὶ ἥμισυ καὶ τέταρτον· σκεύαζε τοῦ τὴν σκευασία ἐν τῷ ὄξει βαλλὼν μετὰ τοῦ σελίνου καὶ τοῦ ἡδυόσμου καὶ τοῦ πηγάνου· ἡλίαζον ἐν σελήνῳ, ἐπὶ ἡμέρας ιεʹ εἶτα ἔξελε ἐκ τοῦ ὄξους καὶ διυλίσας τὰ λοιπὰ δὲ τρῖψον ἐπιμελῶς καὶ σήσας καθʼ ἐν αὐτῷ καὶ πάλιν ἔασον ἐν σελήνῳ ἑτέρας ἡμέρας ιεʹ· εἶτα ἀνελόμενον χρῶ· ὡς ἂν βούλῃ βάπτων ἢ πρὸς ἕψει μεταχρώμενος.

22 κβʹ Ὄξους σκιλλιτικοῦ τοῦ ἁπλοῦ ἡ σκευασία· ἔχει:

Σκίλλης κεκαυμένης καὶ διαλυθήσας, ὅσον λίτρ βʹ καὶ ἥμισυ· ὄξους ξέστ κδʹ· ἡλίαζε ταῦτα τοῖς ὑπὸ κύνας καύμασι, ἡμέρας μηʹ καὶ αὖθις αὐτῷ ἀνελόμενος, χρῶ.

23 κγʹ Ὄξους καθαρτικοῦ σκευασία· ἔχει:

Σκαμωνέας οὐγγ αʹ· ὄξους ξέστ εʹ λείου ἅμα καὶ ἔα ἡμέρας εʹ καὶ δίδου εἰς ἔμβαμμα σὺν τῇ τροφῇ, ὅσον κοχλιάριον αʹ ἢ βʹ· τοῦτο καθαίρει ξανθὴν χολήν· εἰ δὲ ἀντὶ τῆς σκαμωνέας ἐμβάλοις λαθυρίδων οὐγγ αʹ, καθαίρει φλέγμα· εἰ δὲ ἐπιθύμου, ὅσον οὐγγ αʹ ἐμβάλοις κενοῖ τὸν μελαγχολικὸν χυμόν.

24 κδʹ Ὀξυμέλιτος καθαρτικοῦ σκευασία· ἔχει:

Μέλιτος καθαρισμένου καὶ ἀπηφρισμένου ξέστ αʹ, ὄξους δριμυτάτου ξέστ αʹ· ἕψε ἅμα μέχρι μελιτώδους συστάσεως· εἶτα ἐπιβαλὼν ἐπίπετρον κεκομμένον καὶ σεσησμένον, οὐγγ αʹ χρῶ· ἐν βάμματι ἢ μεθʼ ὕδατος καὶ δίδου πίνειν κοχλιάρια βʹ περὶ ὥραν τρεῖς, νήστει· χολὴν κενοῖ. Εἰ δὲ μὴ παρείη ἐπίπετρον, σκαμωνέαν ἔμβαλλε ὅσον οὐγγ αʹ.

κε´ Ὀξύμελι ἄλλον· ἔχει: 25

Μέλιτος ἀπηφρισμένου ξέστ α´ ὄξους ξέστ α´· ἕψε ἅμα μέχρι συστάσεως, εἶτα ἐπίβαλλε κνήκου τὸ ἐντὸς κεκαθαρμένου καὶ λελειωμένου, ὅσον οὐγγ α´ καὶ ἔα ὅσον ἡμέρας πέντε καὶ χρῶ, ὡς βούλει· τοῦτο κινεῖ φλέγμα.

Ἄλλο ὀξυμέλιτος ὅμοιον: 25a

Μέλιτος καὶ ὄξους, ἀνὰ ξέστ α´· ἕψε καὶ ἐπίβαλλε ἐπιθύμου λειοτάτου ὅσον οὐγγ α´ καὶ ἔα ὅσον ἡμέρας ε´ καὶ χρῶ· τοῦτο γὰρ κινεῖ τὸν μελαγχολικὸν χυμόν. Τὰ δὲ ἐμβαλλόμενα πάντα ταῖς προειρημέναις σκευασίαις τοῦ ὀξυμέλιτος ἐν ὀθονίῳ ἀποδεθέντα, ἀποβρεχέσθω.

κς´ Ἄλλον ὀξυμέλιτος πν<ευμόν>ων κενωτικόν· ἔχει: 26

Ἄμεως· λιβυστικοῦ· ἀνίσου· ἐπιθύμου, ἀνὰ οὐγγ δ´· κυμίνου· ἀνήθου σπέρματος, ἀνὰ οὐγγ β´· πολυποδίου, οὐγγ α´· πετροσελίνου, οὐγγ δ´· σελίνου σπέρματος· ζιγγιβέρεως, οὐγγ α´· πεπέρεως, οὐγγ α´· ἀρκευθίδων, οὐγγ δ´· μέλιτος καὶ ὄξους, ξέστ α´· σκεύαζε καὶ χρῶ· ὡς προείρηται τοῦτο κωλικοῖς ἁρμόδιον.

κζ´ Ὀξύμελι ἄλλον καθαῖρον πᾶσαν κακοχυμίαν· ἔχει: 27

Ὑσσώπου κόμης, οὐγγ α´ καὶ ἥμισυ· ὀριγάνου, οὐγγ α´· γλήχωνος οὐγγ α´ καὶ ἥμισυ· πρασίου· ἐπιθύμου· κνήκου σπέρματος, ἀνὰ οὐγγ α´· θύμου κορύμβους· ἀγαρικοῦ, ἀνὰ α´· πολυποδίου· σκαμωνέαν ἀνὰ οὐγγ α´· ὄξους ξέστ α´ καὶ ἥμισυ· μέλιτος λιτρ β´· ὕδατος ξέστ α´ ἐψήματος λίτρ ἥμισυ· προβρέξας τὰς βοτάνας τῷ ὄξει καὶ τῷ ὕδατι καὶ ἕψε εἰς ἀποτρίτωσιν καὶ διηθήσας, ἐπίβαλλε τῷ μέλιτι καὶ πάλιν ἕψε μέχρι καλῆς συστάσεως καὶ λεάνας, ἕνωσον ἐν τῇ θυίᾳ λειότατα γενόμενα καὶ σεσησμένα λεπτοτάτῳ κοσκίνῳ ταῦτα· οἷον σκαμωνέαν· ἐπίθυμον· ἀγαρικὸν καὶ ἀναμάλασσε· εἶτα δίδου, συμμέτρως μὲν καθᾶραι βουλόμενος, ὅσον γράμματα ιε´, τοῖς μέσοις δὲ γράμματα κ´, τοῖς δὲ τελείοις καὶ ἰσχυροῖς, ὅσον οὐγγ α´· τινὲς δὲ καὶ ἀλυπιάδος ὅσον οὐγγ α´· ἐπιβάλλουσιν.

κη´ Ὀξύμελι κωλικοῖς ἐνιέμενον· ἔχει: 28

Κενταυρίου, οὐγγ α´· ἀλυπιάδος νεαρᾶς, οὐγγ β´· πηγάνου χλωροῦ, οὐγγ β´· πρασίου· ἀγαρικοῦ· κασίας· ἴρεως· ὑσσώπου· γλήχωνος, ἀνὰ οὐγγ δ´· σκίλλης τὸ ἐντὸς οὐγγ α´· ὄξους, ξέστ γ´· μέλιτος οὐγγ α´· προβρέξας πάντα τῷ ὄξει, ἕψε εἰς ἀποτρίτωσιν καὶ διηθήσας ἐπίβαλλε τῷ μέλιτι καὶ ἕψε μέχρι συστάσεως ὑγροτέρου μέλιτος· ἔπειτα ἐπίπασσε σκαμωνέας λειοτάτης, ὅσον οὐγγ α´· ναρδοστάχυος, οὐγγ α´ καὶ ἐκ τοῦ διὰ μαράθρων καθαρτικοῦ οὐγγ α´ καὶ ἑνώσας χρῶ· οὕτως προκενώσας τὸν κωλικευόμενον ἐκκοπρωτικῷ σκλυστῆρι, ἔπειτα ἐπιβαλὼν τοῦ ὀξυμέλιτος κοχλιάριον α´, ἀνάλυε μετὰ χυλοῦ πτισάνης καὶ ἔνιε· χρῶ δὲ ὁμοίως καὶ ἐπὶ νεφριτικοῖς τῶν φλεγματικωτέρων· κινεῖ γὰρ φλέγμα ἀλύπως καὶ ὑγιάζει.

29 κθ΄ Ὀξυμέλιτος πικροῦ σκευασία· ἔχει:

Μαράθρου χλωροῦ μετὰ τῶν ῥιζῶν δεσμίδιον ἕν· σελίνου μετὰ τῶν ῥιζῶν· πηγάνου χλωροῦ, ἀνὰ δεσμίδιον α΄· ὄξους, λίτρ ε΄· μέλιτος λιτρ α΄ καὶ ἥμισυ· ἕψε τὰς βοτάνας σὺν ὄξει εἰς ἀποτρίτωσιν καὶ διηθήσας, ἐπίβαλλε τὸ μέλι καὶ ἕψε μέχρι μέλιτος ὑγροτέρου συστάσεως· ἔπειτα λεάνας ἐν θυίᾳ· ἀλόης πρώτης, ὅσον οὐγγ α΄· καὶ σήσας ἐπίβαλλε κατὰ βραχὺ τοῦ ὀξυμέλιτος καὶ ἑνώσας, ἀναλάμβανε καὶ χρῶ· παρέχων κοχλιάριον α΄· ἐπιρροφείτω δὲ ὕδωρ θερμόν· τοῦτο γὰρ καθαίρει κεφαλὴν ἄκρως· ἐστὶ δὲ καὶ εὐστόμαχον.

30 λ΄ Οἰνόγαρον καθαρτικόν· ἔχει:

Γάρου μυάκια β΄· οἴνου μυάκιον α΄· πεπέρεως κόκκοι ν΄· λιβυστικοῦ· σκαμωνέας, ἀνὰ γράμμ α΄· μέλιτος βραχὺ χρῶ· τοῦτο καθαίρει τὸν μελαγχολικὸν χυμόν.

31 λα΄ Ὀξύγαρον καθαρτικόν· ἔχει:

Σπέρματος σελίνου οὐγγ α΄· πεπέρεως κόκκοι ν΄· κυμίνου ὀβολὸς α΄· ὀποῦ κυρηναϊκοῦ τὸ ἴσον, σκαμωνέας γράμμαν α΄· γάρου καὶ ὄξους, ἀνὰ οὐγγ γ΄, χρῶ· καθαίρει χολήν. Εἰ δὲ ἀντὶ τῆς σκαμωνέας· κνήκου ὅσον κόκκων κ΄· ἐμβάλλεις τὸ ἐντός· καθαίρει φλέγμα· εἰ δὲ πολυποδίου οὐγγ δ΄, τὸν μελαγχολικὸν χυμόν.

31a Ὀξυπόριον καθαρτικὸν τὸ διὰ κυδωνίων μήλων· ζήτει τοῦτο ἐν τὸ κ΄ στοιχεῖον.

32 λβ΄ Ὀξυπόριον διὰ φοινίκων· ἔχει:

Ζιντζίβερι· πεπέρεως· κυμίνου· πετροσελίνου, ἀνὰ οὐγγ α΄· σκαμωνέας ὀπτηθείσης ἐν ζύμῃ καὶ λελειωμένης καὶ σεσησμένης λεπτοτάτως οὐγγ β΄ καὶ ἥμισυ· φοινίκων λιπαρῶν τῶν σαρκῶν· πηγάνου φύλλων, ἀνὰ οὐγγ δ΄ μέλιτος ξέστ γ΄· ὄξους ξέστ α΄· ἕψε πρῶτον τὸ ὄξος καὶ τὸ μέλι καὶ τοὺς φοίνικας ἕως τὸ τρίτον τοῦ ὄξους λειφθῇ, εἶτα λείου τὸ πήγανον μετὰ τοῦ λειψάνου τῶν φοινίκων καὶ ἐπιπάσας τὰ ξηρὰ λειότατα γενόμενα καὶ ἑνώσας, ἐπίβαλλε κατὰ βραχὺ τὸ ἑψηθὲν ὀξύμελι καὶ ἑνώσας χρῶ· ὡς θαυμασίας καὶ διὰ πολλῆς πείρας φαρμάκῳ· ἡ δὲ τελεία δόσις κοχλιάρια β΄ τοῖς στεγνοκοιλίοις, ἀκμαίου ὄντος τοῦ φαρμάκου· εἰ δὲ μὴ πάνυ εἶεν ἐστεγνωμένοι κατὰ τὸ μέτρον τῆς ὑποβάσεως καὶ τοῦ φαρμάκου δοτέον ποτὲ μὲν κοχλιάριον α΄ καὶ ἥμισυ ποτὲ δὲ ἓν καὶ μόνον· ἐφ᾽ ὧν δὲ μελαγχολικὸν βούλει καθᾶραι πρόσπλεκε τῇ δόσει ἐπιθύμου γράμματα γ΄ ἢ πρὸς δύναμιν· εἰ δὲ φλέγμα πολὺ ὑπόκειται ἐπίβαλλε καὶ ἀγαρικὸν ἤτοι ἰσίου γράμμα α΄· κινεῖ γὰρ μετρίως φλέγμα καὶ τὸ περὶ πηγάνου κύμινον. Ὑπάγει ξανθὴν χολὴν ἄκρως δι᾽ ὅ καὶ ἰκτερικοῖς δίδοτε ἐπωφελεῖ καὶ τριταΐζουσιν· ὅταν πέψις χρηστὴ ἐν τοῖς οὔροις φανεῖ καὶ κινεῖ δὲ φλέγμα μετρίως· χρῶ δὲ θαρρῶν ἐν παντὶ κεκαυμένῳ, ἀδιαστρόφως καὶ ἀπεριέργως· ἐγὼ δὲ καὶ τὰ χωρὶς ῥίγους πυρέττουσιν, ἔδωκα μετὰ πέψιν, φανῆναι ἐν τοῖς οὔροις καὶ παραχρῆμα, ἰάσατο.

33 λγ΄ Ὀξύμελι καθαρτικὸν τοῦ προσομιλήτου· ἔχει:

Γλήχωνος· ὀριγάνου· θύμβρας ἀγρίας· πολυποδίου, ἀνὰ οὐγγ α΄· σελίνου ῥίζης οὐγγ δ΄· ἀνήθου ξηροῦ γράμματα ϛ΄· ἀγαρικοῦ· ἐπιθύμου· σκαμωνέας, ἀνὰ οὐγγ α΄· μέλιτος

ξέστ α΄· ὄξους ξέστ α΄· βρέχε τὰ εἴδη καὶ ἕψε ὡς τὸ ὀξύμελι· ὅταν δὲ λάβῃ καλὴν σύστασιν, ἄρας ἀπὸ τοῦ πυρός· προσβάλου τὴν σκαμωνέαν καὶ βάλε ὡσαύτως καὶ τὸ ἐπίθυμον καὶ τὸ ἀγαρικὸν καὶ σκευάσας ἀπόθου· ἡ δόσις οὐγγ β΄ ἢ γ΄ μεθ' ὕδατος θερμοῦ.

λδ΄ Ὀμφακομέλιτος σκευασία· ἔχει: 34

Ὄμφακος χυλοῦ, ξέστ γ΄, μέλιτος ἢ σαχάριτος, ξέστ α΄· ἕψε ἕως τὸ τρίτον διασπασθῇ καὶ ἀνελόμενον ἀπὸ τοῦ πυρὸς ἀπόθου· ἐπὶ δὲ τῆς χρείας δίδου κοιλιακοῖς καὶ δυσεντερικοῖς καὶ ἐμοῦντας καὶ τῶν ἄλλων ῥοδῶν· τοῦτο δὲ καὶ διακλύσμασι πολλάκις· ἐπὶ τῶν στομαχικῶν χρώμεθα παθῶν.